881
P21
1899

PEDIASIMUS

THEODORI PEDIASIMI
EIUSQUE AMICORUM QUAE
EXSTANT

UNIVERSITY OF ILLINOIS
AT URBANA-CHAMPAIGN

NOTICE: **Return or renew all Library Materials! The *Minimum* Fee for each Lost Book is $50.00.**

The person charging this material is responsible for its return to the library from which it was withdrawn on or before the **Latest Date** stamped below.

Theft, mutilation, and underlining of books are reasons for disciplinary action and may result in dismissal from the University.
To renew call Telephone Center, 333-8400

UNIVERSITY OF ILLINOIS LIBRARY AT URBANA-CHAMPAIGN

MAR 17 1992

NOV 12 1993

CLASSICS

L161—O-1096

Programm

des

Victoria-Gymnasiums

zu

Potsdam

Ostern 1899.

Inhalt:

2. Wissenschaftlicher Teil:

Theodori Pediasimi eiusque amicorum quae exstant

edidit M. Treu.

Potsdam, 1899.

Druck der Krämer'schen Buchdruckerei (Paul Brandt).

1899. Progr. Nr. 84.

LIBRARY
OF THE
UNIVERSITY OF ILLINOIS

Theodori Pediasimi

eiusque amicorum quae exstant

edidit

Maximilianus Treu

Potisdamiae 1899

Typis Pauli Brandt.

881
P21
1899
Classics

ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΠΕΔΙΑΣΙΜΟΥ
ΛΟΓΟΣ ΕΓΚΩΜΙΑΣΤΙΚΟΣ
ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΙΩΣΗΦ ΤΟΝ ΥΜΝΟΓΡΑΦΟΝ

Τὴν παροῦσαν ἡμῖν ὑπόθεσιν καὶ τὸν προκείμενον ἀγῶνα δυσκαταγώνιστον εἶναι τῇ ἐμῇ περὶ λόγους δυνάμει καὶ μὴ μόνοις ἡμῖν, ἀλλὰ καὶ οἷς τὸ λογογραφεῖν ὅτι κάλλιστα κατώρθωται, οὐδένα τῶν εὖ φρονούντων καὶ λόγων ἀντεχομένων καὶ τὰ τοῦ ἀνδρὸς διεγνωκότων οἶμαι μὴ κρινεῖν. τίς γὰρ ἀξίως εὐφημῆσαι δύναιτ' ἂν ἄνδρα τοσοῦτον ἔν τε βίῳ καὶ λόγοις εὐδοκιμήσαντα, ὡς μηδαμῶς ἀπολείπεσθαι τῶν περὶ ἑκάτερα τούτων εὐτυχηκότων; τῇ μὲν γὰρ πολιτείᾳ ἐπὶ γῆς ἄγγελον ἑαυτὸν ἀνεδείξατο, τῇ δὲ τῶν λόγων ῥώμῃ οὐδ' ὁπωσοῦν τῶν πρὸ αὐτοῦ παλαιῶν ἀνδρῶν ἠλαττοῦτο· οὕτως ἡ τῶν ἀγώνων ὑπόθεσις πάσης εὐφημίας ὑπέρκειται καὶ λόγων δυνάμεως κρείττων καθέστηκε· τοῖς γὰρ τῶν καλῶν πλήθεσι πληθυνομένη πᾶσαν λόγου γραφὴν τυγχάνει νικῶσα.

μηδεὶς δὲ εὐήθειαν ἐγκαλέσειέ μοι, εἰ τηλικοῦτον ἀγῶνα τοιοῦτος ὤν, παρὰ πολὺ τούτου λειπόμενος, ἐνεστησάμην· | ἐπειδὴ γὰρ περὶ f 112v V *ἀνδρὸς ποιούμεθα τὸν λόγον οὐχ ἧττον τῶν ἄλλων ἁπασῶν ἀρετῶν εἰ μὴ καὶ μᾶλλον τὸ μετριοφρονεῖν κατωρθωκότος, δίκαιον ἂν εἴη μήτε ὑμᾶς ἡμῶν κουφότητα καταγινώσκειν, μήτε ἐμὲ δεδιέναι τὸν ἀγῶνα εἰσδῦναι τῇ τοῦ νῦν εὐφημουμένου περὶ τὸ μετριοφρονεῖν περιουσίᾳ θαρροῦντα· ἐκ γὰρ ταύτης καὶ ἡμῖν, εὖ οἶδα, συγγνωμονήσει τοῖς τολμῶσιν ἐκεῖνον ἐγκωμιάζειν καὶ τῇ τῆς ψυχῆς προθέσει σθένος χαριεῖται ὅσον καὶ βούλεται, δυσὶ τούτοις συναιρόμενος ἡμῖν, δυνάμει λόγου καὶ χάριτι πνεύματος. σκοπῶν δὲ οὐχ εὑρίσκω τῶν ἁπάντων οὐδένα δικαιότερον ἢ οἰκειότερον ἐπαινεῖσθαι, ἢ τὸν νῦν εὐφημούμενον, ὅσῳ καὶ πάντας, οἷς καὶ τὸ τιμᾶσθαι προσῆκον καὶ ψυχαῖς ὠφέλειαν ἐμποιοῦν, ἐπαίνων ἠξίωσεν.*

ἀλλ' ἐπὶ τὸν ἀγῶνα ἤδη μοι ἰτέον ἐστί, καὶ τῆς εὐφημίας κατάρξαι καὶ τὸν ὅσιον κατὰ δύναμιν καταστέψαι τοῖς ἐγκωμίοις· ἀρξόμεθα

---

3 *τὸν ὑμνογράφον* om L   11 *μὴδοπωσοῦν* L   17 f 112r infra rubro *τὸ σεμνὸν, ἐναντίον τῷ κακοζήλῳ* + V   22 *θαρσοῦντα* V

δὲ ὅθεν ἄρχεσθαι νόμος, εἰ καὶ ὁ τοῦ νῦν ἐπαινουμένου βίος καὶ ἡ σεμνὴ πολιτεία μὴ περὶ τῆς κάτω | f 2v L καὶ αἰσθητῆς πατρίδος λέγειν ἐᾷ, ἀλλὰ τῆς ἄνω καὶ νοητῆς, ἧς τεχνίτης μὲν καὶ δημιουργὸς ὁ θεός, πολῖται δὲ οἱ ἄγγελοι τοῦ θεοῦ, τὰ νοερὰ πνεύματα καὶ δεύτερα φῶτα καὶ τῇ τῆς ἁγίας τριάδος ἐλλάμψει ἀμέσως φωτιζόμενα καὶ καταστραπτόμενα, ἐν ᾗ καὶ τὰς θείας μονάς, ἃς ἀκούομεν, εἶναι πιστεύομεν, αἳ τοῖς ἐνταῦθα σπουδαίως βιοῦσιν ἆθλα παρέχονται.

πατρὶς τοίνυν γέγονε τῷ θειοτάτῳ πατρὶ πόλις πασῶν τῶν ἐν Σικελίᾳ προκαθεζομένη καὶ ὑπεραίρουσα — ὄνομα ταύτῃ Συρακοῦσαι — οὐ τοσοῦτον τοῖς πλήθεσι τῶν ἄλλων ἀγαθῶν οἷς τυγχάνει κεκοσμημένη, μεγέθει φημὶ κάλλει συγ | f 113r V κεκραμένῳ, ἀέρων τοῖς εὐκραεστάτοις, καρπῶν εὐφορίαις παντοίων τοῖς τε ἄλλοις, ὅσον ἐπὶ ταῖς τοῦδε τοῦ ἀνδρὸς ἀριστείαις καὶ τοῖς λαμπροῖς κατορθώμασιν.

ἀλλ' ἐπὶ τοὺς θείους καὶ ἱεροὺς καὶ τῷ ὄντι καλλίπαιδας γονέας μεταβαίνειν ὁ λόγος βούλεται, οὐχ ἵν' ἐκ τῶν πατέρων τὸν παῖδα γνωρίσῃ — πῶς γὰρ τὸν τῷ ὄντι γνωριμώτατον ἐξ αὐτοῦ καὶ τοῖς πατράσι διδόντα τὸ δι' ἑαυτὸν καλλωπίζεσθαι καίτοι πολλοὺς νικῶσι τοῖς προτερήμασιν, ὥσπερ πατέρες τοῖς παισὶν ἕτεροι —, ἀλλ' ἵνα ταύτῃ δυοῖν ἑτέροιν κατορθωτὴς γένηται· ἑνὸς μὲν μάλιστα καὶ πρώτου, ἵνα τῇ μνήμῃ τούτους τιμήσῃ, καὶ μάλα δικαίως τοιούτους πεφηνότας πατέρας, οὓς κἀκεῖνος ἔτι τῷ κόσμῳ περιὼν τιμῶν μάλιστα διεφαίνετο, νόμον θεῖον ἀποπληρῶν· δευτέρου δέ, καὶ οὐδὲν ἐλάττονος, ἵνα τοῦτον τοῖς τῶν πατέρων ἐπαίνοις εὐφράνας φανῇ, ἐπειδήπερ διηγούμενος ἔσται, ὅπως τοῖς ἀνθρώποις γνώριμοι γένοιντο, οὐ τοσοῦτον διὰ τὰ ἄλλα πολλῶν συνόντων αὐτοῖς ὅσον διὰ τὴν ἣν εἶχον πρὸς τὸ θεῖον εὐσέβειαν καὶ τοὺς χρηστοὺς τρόπους.

προῆλθε τοίνυν ἐκ πατέρων, οἳ τοσοῦτον ἀρετῇ πάντων ὑπερεῖχον τῶν ἐν τῇ πόλει, ὅσον ὁ παῖς τούτων· ὄνομα τῷ μὲν Πλωτῖνος, Ἀγάθη δὲ τῇ μητρί· οὐχ ἧττον τὰς ψυχὰς ἢ τὰ σώματα συνεζευγμένοι τῷ τοῖς αὐτοῖς χαίρειν, εὐσεβείᾳ λέγω καὶ θείοις ἔργοις τὰ πρῶτα τῆς πόλεως ὄντες· πλοῦτον δὲ ἐκέκτηντο μέν, οὐ τοσοῦτον δὲ δι' ἑαυτούς, ὅσον πρὸς τὴν τῶν δεομένων ἐπάρκειαν, | f 3r L τὸν θεῖον ἔλεον ἐκ τοῦ πρὸς τοὺς πένητας οἰκτιρμοῦ πρὸς ἑαυτοὺς ἐπισπώμενοι.

8 Synaxarium Claromontanum: [f 188v 16] *τῇ αὐτῇ ἡμέρᾳ* (III. die mensis Aprilis) *μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωσὴφ τοῦ ὑμνογράφου. οὗτος ὑπῆρχεν ἐκ τῆς Σικελῶν ἐπαρχίας (ἐπαρχείας) γεννητόρων Πλουτίνου καὶ Ἀγάθης·*

8 *γέγοναι* V 11 *κάλει* VL 14 *καλίπαιδας* VL

προελθὼν τοίνυν ἔκ τε τοιαύτης πόλεως καὶ πατέρων τοιούτων, οἵους ὁ λόγος ὑπέδειξεν, εὐθὺς τῇ τῶν ἡλικιῶν πρώτῃ τὴν | f 113v V συγγενεστάτην καὶ οἰκειοτάτην ἀνθρώπῳ μάλιστα τέχνην, τὴν ἐγκύκλιόν φημι παίδευσιν, ἐκπαιδεύεσθαι δέδοται· ἧς οὔπω τῆς μειρακίων τέρμα δεξάμενος πᾶν εἶδος σχεδὸν ἄριστα συνεσκέψατό τε καὶ ἐξησκήσατο σπουδῇ τε καὶ εὐφυΐᾳ περὶ ταῦτα χρησάμενος, αἳ τοιοῦτον, οἷον ὁ λόγος δηλώσει, διέδειξαν. οὐ μὴν τῷ περὶ τὴν τῶν λόγων κτῆσιν σπεύδειν ἀρετῆς καὶ τῆς περὶ τὰ κάλλιστα σπουδῆς ἧττον ἐπεμελεῖτο, ἀλλὰ χρηστοῖς ἤθεσιν ὅτι μάλιστα καὶ σπουδαίοις ἐνετρέφετο καὶ προσέκειτο. ὁμηλίκων τε τοῖς καλλίστοις καὶ ἐξ ὧν ὠφέλειαν ἔχοι προσεῖχέ τε καὶ ὡμίλει, τοὺς βλαβεροὺς πόρρω διώκων· ἤδη γὰρ τὴν ἀνθρώπειαν φύσιν ῥᾷον δυναμένην κακίας μεταλαβεῖν ἢ ἀρετῆς μετασχεῖν. καὶ τοσοῦτον ἐν λόγοις εὐθὺς ἐν ἀρχαῖς κράτος ἐκτᾶτο ἀγωγῇ τε θείᾳ συνέζη, ὡς κατάδηλον πᾶσιν ὁποῖον προσέσται πέρας τῇ τοιᾷδ' ἀρχῇ γίγνεσθαι. καὶ τἄλλα τοίνυν εἴδη τῆς παιδεύσεως, καθάπερ ἔφθην εἰπών, εἰς ἄκρον ἐξησκημένος, τῇ ῥητορικῇ μάλιστα χρησάμενος φαίνεται. ἄλλοτε μὲν γὰρ πανηγυρίζων εὐδοκιμεῖ, ποτὲ δὲ συμβουλεύων τὰ κάλλιστα, πρὸς ἓν ἀμφοτέροις βλέπων τοῖς εἴδεσι, τὸ τὰς ψυχὰς τῶν ἀκουόντων τῶν ὁρωμένων ὑπερορᾶν καὶ ὑπὲρ τὴν ὑλικὴν δυάδα γίγνεσθαι καὶ τῶν ἐπιγείων ἐξωνεῖσθαι τὰ θεῖά τε καὶ οὐράνια.

ταῦτα μὲν οὖν οὕτως· ἁλῶναι δέ ποτε τοῖς Πέρσαις σφοδρὸν ἐπιθεμένοις τὴν πατρίδα τούτῳ συνέβη. ταύτης τοίνυν ἁλούσης οὗτος μητρί θ' ἅμα καὶ ἀδελφοῖς — πατὴρ γὰρ ἤδη τούτῳ προὐτεθνήκει — ὑπὸ τῆς πάντα τὰ ἐκείνου ἐφορώσης καὶ διακυβερνώσης θείας προνοίας διασωθεὶς τὴν Πέλοπος | f 114r V νῆσον καταλαμβάνει κἀκεῖθεν τὴν Θεσσαλονικέων Θεσσαλονίκην, τὴν ἐν πόλεσι περιώνυμον, ἣν οὐχ ἧττον οἱ λόγοι σεμνύνουσιν, ἤπερ ὁ τῶν χρηστῶν ἔργων ἔρως καὶ ἡ θερμὴ πρὸς τὸ θεῖον καὶ διάπυρος σχέσις· ἣ καὶ τῶν ἐμῶν λόγων διδάσκαλος καὶ λογικὴ τροφὸς | f 3v L ἡμετέρα, εἰ καὶ μὴ τελείως καὶ κατὰ τὴν ἐμὴν ἐξεθρέψατο βούλησιν, ἐναντίως ἢ κατὰ τὴν πρόθεσιν τοῦ καιροῦ συμπεσόντος. ἐν ᾗ κόσμον καὶ τὰ περὶ γῆν ἀτιμάσας καὶ παντὸς ἔξω

---

21 πορθηθείσης (πορθηθήσεις) δὲ τῆς τούτου πατρίδος σὺν μητρὶ καὶ ἀδελφοῖς διαφυλαχθεὶς ἦλθεν εἰς Πελοπόννησον (πελοπόνησον). ἐκεῖθεν ἀπάρας ἦλθεν εἰς Θεσσαλονίκην. 31 πέντε καὶ δέκατον ἔτος ἄγων ἀποκείρεται ἔν τινι μοναστηρίῳ καὶ ἦν διερχόμενος πᾶσαν τὴν θείαν γραφήν.

---

2 in marg alio atram γρ προσφυεστάτην L 8 in marg γρ ἐπεμέλετο L 13 ἐκτεῦτο V 18 ἓν ἐν? 23 προτεθνήκει L 25 νῆσον om V

θορύβου κοσμικοῦ γενόμενος, τὸν μονήρη βίον ὑπεισελθὼν ὅλος ἑαυτοῦ καὶ τοῦ πνεύματος γέγονε, τὴν στενὴν καὶ θείαν ὁδὸν ἀντὶ τῆς πλατείας καὶ πρὸς ἀπώλειαν φερούσης ἑλόμενος. οὐ γὰρ τὰ μὲν τῶν θείων ἔργων διαπράττων ἐφαίνετο, τὰ δὲ παραλείπων, ἀλλ' ἁπλῶς εἰπεῖν οὐδέν τι τῶν ἀγαθῶν, οὗ μὴ πεῖραν ὁ θεῖος εἴληφεν Ἰωσήφ.

ἤδη δὲ καὶ καθ' ἕκαστον ὁ λόγος διεξιέσθω· ἀνδρὸς γὰρ τοῦδε τίς ἄλλος μᾶλλον ἀγρυπνίαν εἰς ἄκρον ἐξασκησάμενος φαίνεται; περί τε γὰρ μέσας νύκτας γρηγορῶν ὢν διετέλει, ἀρχαί τε μὴ κοιμώμενον τοῦτον εἶχον, ᾔδεσαν αὐτὸν καὶ ὄρθροι ὑπόπτερον οἱονεὶ προσευχαῖς γινόμενον. ἡμέραι τε νύκτας διαδεχόμεναι τοιοῦτον οἷον ἐκεῖναί περ εἶχον παρ' ἑαυταῖς. τοσούτῳ γὰρ ὁ θαυμάσιος ὕπνῳ κατείληπτο, ὅσον ᾔδει τῶν ἀναγκαίων καὶ τὸ ζῆν μόνον αὐτῷ χορηγοῦντα. πολλὰ δ' ἦν ἃ πρὸς τὸ γρηγορεῖν αὐτὸν ἔφερε. τίνα ταῦτα; χαμευνίας ὕψος — ἔδαφος γὰρ ἦν αὐτῷ φίλη κλίνη, κωδίῳ καλυπτόμενον μόνῳ — τό τε τῆς διαίτης λιτόν, ἐπειδὴ τροφή περ αὐτῷ τρύφος ἄρτου, ᾇ f 114v V πλέον ἔχαιρεν οὗτος ἢ ταῖς πολλαῖς τρυφαῖς καὶ ταῖς πολλαῖς | καρυκείαις ἕτεροι. οὐ τοίνυν τροφῆς μὲν εὐτέλεια καὶ χαμευνία οὕτως εἰς ἄκρον ἐκείνῳ κατώρθωτο, ποτὸν δ' ἦν τούτοις παρηλλαγμένον τε καὶ ἀνοίκειον, ἀλλὰ καὶ τοῦτο τοῖς ἄλλοις ὁμότροπόν τε καὶ σύμφωνον. ἡδεῖα γὰρ αὐτῷ πόσις ὕδωρ, ὃ νηφαλιότητος καὶ σπουδῆς τοὺς χρωμένους ἀναμέστους δείκνυσιν. ἤδη δὲ καὶ μέχρι τοῦ χιτῶνος τὸ φιλόσοφον προὔβη τἀνδρός, ἐπειδὴ χιτώνιον ἓν αὐτῷ περιῆν καὶ τριβώνιον, πτωχείαν εἴπερ τις πλουτῶν καὶ κόσμον οἰκειότατον ἑαυτῷ τὴν ἀκοσμίαν καὶ ἀκτησίαν ἡγούμενος. μέγα παρθενία καὶ βίος ἄζυγος, ὁ τῆς μοναδικῆς καὶ ἀγγελικῆς πολιτείας οἰκειότατος μιμητής· ἀλλ' f 4r L οὐδὲ | ταύτης ὁ μακάριος ἀπολέλειπτο· ἀλλ' ὥσπερ ἐν πάσαις ταῖς ἀρεταῖς δοκιμώτατος γέγονεν, οὕτω καὶ πρὸς ταύτην χωρῆσαι δεδύνηται τῇ τρίτῃ τῶν ἡμιανδρίων οἷς καὶ βασιλείαν οὐρανῶν ἆθλον οἶδ' ἀπαριθμήσει καταλεγείς, ὡς ἐν τοῖς εὐαγγελίοις ἠκούσαμεν.

ἤδη δὲ ἐφεξῆς σκοπητέον, ὅπως ἐκ πόνων χρηστοὶ τοῦτον διεδέχοντο πόνοι ἀργίην πόρρω κραδίης διώκοντα καὶ χειρός, σπουδῇ δὲ κεχρημένον περὶ τὰ κάλλιστα· διεδέχετο τοιγαροῦν τὸ μὲν τῆς προσευχῆς μετέωρον καὶ μετάρσιον θείων λογίων ἀνάγνωσις, ὧν τὸ θεῖον ηὕρισκε φῶς σὺν ὁδηγίᾳ τοῦ πνεύματος. ταύτης δ' ἀπεπαύετο τῷ ταύτας

2 ev. Matth. VII 13 9 ἀραί? 11 ἐκεῖναι — [β] εἶχον παρ' [α] ἑαυταῖς L 18 χαμμευνία V 23 προυέβη V προέβη L 24 πλοῦτον? 25 μέγα τι? 29 οἶδα τάξει καταλεγείς L ev. Matth. XIX 12 35 εὕρισκε L

ἐγχαράττειν γραφίδι μισθὸν οὐκ ἄλλον ἢ τὴν τῶν ἐντυγχανόντων λαμβάνων ὠφέλειαν. ἐντεῦθεν ἐκτήσατο Παύλου τὸ τῆς ἀγάπης κραταιόν, Δαυὶδ τὸ πρᾶον καὶ μέτριον, Σολομῶντος τὸ περὶ πάντα σοφὸν σοφίας πνεύματι σοφιζόμενος. τούτοις δῆτα πλουτῶν εἰς ἱερέα τῷ πνεύματι χρίεται καὶ τοῖς τοῦ πρεσβυτερίου θρόνοις ἀξίως ἐπικαθέζεται· οὐκ οἶδα δὲ εἴτε χρὴ πάντων | μᾶλλον λέγειν, ἢ τόγε μέτριον τοῖς ἀρίστοις ὁμοίως. f 115r V

οὐ πολὺ τὸ ἐν μέσῳ καὶ μετὰ Γρηγορίου — Δεκαπολίτης ἐπίθετον τῷ ἀνδρί —, ἀνδρὸς λογίου ἀρετῇ τ' ἐν τοῖς μάλιστα κεκοσμημένου, θείῳ πνεύματι κινηθείς, ᾧ πάντα διαπράττων ἐφαίνετο, τὸ Βυζάντιον καταλαμβάνει· ἔδει δὲ ἄρα καὶ τὴν Κωνσταντίνου τῶν ἐκείνου καλῶν ἀπολελαυκυῖαν γενέσθαι ἐντρυφῆσαί τε τοῖς ἐκείνου σεμνολογήμασιν. μετὰ γὰρ τἀνδρὸς τοῦδε τῷ τοῦ μάρτυρος ἐγκλεισθεὶς Ἀντίπα νεῷ τοῖς αὐτοῖς οἷσπερ τὸ πρότερον χαίρων ἐδείκνυτο, ἐπεκτεινόμενος μὲν τοῖς ἔμπροσθεν, τῶν δὲ ὄπισθεν ἐπιλανθανόμενος.

εἶχε μὲν οὖν οὕτω ταῦτα· τῆς δὲ τῶν εἰκονομάχων αἱρέσεως τῷ τῶν ζιζανίων ἀναφυείσης σπορεῖ ὀργάνῳ τῷ δυσσεβεῖ βασιλεῖ πρῶτον Ἰσαύρῳ χρησαμένῳ οὐδαμῶς τῶν πρόγε αὐτῆς ἐλάττονος καὶ πάσης ἰδέας κολάσεων κατὰ τῶν, ὅσοι τῆς ὀρθοδόξου πίστεως ἐπινοουμένης, ὁ μακάριος οὗτος, τῷ ὄντι καὶ τοῦ ἐμοῦ Χριστοῦ καὶ σωτῆρος ἄριστος μιμητής, ἀπλήστως εἴπερ τις περὶ τὴν μαρτυρικὴν ἔφεσιν ἔχων καὶ τὸ ὑπὲρ τοῦ Χριστοῦ παθεῖν τοῦ πάντων προκινδυνεύσαντος παθεῖν, ἠβουλήθη μὲν τὸν ἀγῶνα εἰσδῦναι καὶ παθεῖν, ὅσα τοῖς ὑπὲρ Χριστοῦ προελομένοις παθεῖν | τοῖς εὐσεβέσι προσγίνεται. ἐπεὶ δὲ κἂν f 4v L τούτῳ δεῖν ᾤετο πείθεσθαι τῷ διδασκάλῳ τά τε ἄλλα πειθόμενος μὴ προδιδόναι κελεύοντι τὸν ἀθλήσοντα ἑαυτὸν αὐτομόλως, τῷ τε καθ' ἑαυτὸν τοῦθ' ἡμῖν ὑποδείγματι νομοθετήσαντι, μὴ πρότερον πρὸς τὸν ὑπὲρ πάσης ψυχῆς ἀγῶνα χωρήσαντι, πρὶν ἂν ἴδῃ τοὺς ἐχθροὺς μετὰ μαχαιρῶν καὶ ξιφῶν ἐπιστάντας αὐτῷ, βουλὴν λαμ-

4 ὅθεν καὶ τὴν τοῦ πρεσβυτέρου χειροτονίαν δέχεται 7 καὶ μετὰ Γρηγορίου τοῦ Δεκαπολίτου τῇ Κωνσταντινουπόλει καταλαμβάνει. 15 ἐπεὶ δὲ ἡ τῶν εἰκονομάχων αἵρεσις αὖθις ἀνεφάνη Λέοντος τοῦ δυσσεβοῦς Ἀρμενίου [βασιλεύοντος], παρεκάλεσαν τὸν ἅγιον Γρηγόριον οἱ ὀρθόδοξοι στεῖλαι εἰς Ῥώμην τὸν Ἰωσήφ, μηνύσοντα τοῖς ἐκεῖσε τὸ συμβάν. καὶ ὁ μὲν ἐξέπλει, πλοῖα δὲ ἐπιστάντα βαρβαρικὰ δεσμώτην εἰς Κρήτην ἀπήγαγον.

6 τῶν καλῶν, τὰ μὲν κυρίως λέγονται, ὡς τὰ θεῖα καὶ οὐράνια, τὰ δὲ καταχρηστικῶς ὡς τὰ ἐν κόσμῳ χρηστά· ὡσαύτως καὶ τὰ κακὰ σκόπει καὶ ἡ εὐδαιμονία in fol 114v infra V 13 ep. ad Phil. III 14 15 ταῦτα μὲν οὖν οὕτω, in marg γρ εἶχε μὲν οὖν οὕτω ταῦτα· ὃ καὶ κρεῖττον VL οἰκονομάχων L cf ev. Matth. XIII 39 16 δυσεβεῖ L 21 παθεῖν om L

f 115v V πρὰν πρὸς Ῥώμην | ἀπᾶραι τίθησι τῷ ταύτην ὀρθοδοξεῖν καὶ ταῖς ἱεραῖς εἰκόσι σέβας προσνέμειν.

καὶ τῇ βουλῇ πρᾶξιν προστίθησιν· πλέοντι τοίνυν κατὰ θάλατταν τῷ θειοτάτῳ πατρὶ ἐξαίφνης Περσῶν πλῆθος ὠμόν τι πνεόντων καὶ θηριῶδες ἐφίσταται , καὶ τούτοις δεσμώτης ὁ πάσης παθῶν δουλείας ἐλεύθερος γεγονὼς εἰς Κρήτην ἕλκεται καὶ ὑπάγεται. ἐν ᾗ δῆτα καὶ φυλακῇ ὁ πᾶσαν ἀπὸ τῶν παθῶν φυλακὴν ποιούμενος καὶ θύραν περιοχῆς ταῖς τῆς κακίας εἰσόδοις τιθέμενος καὶ διὰ τοῦτο πᾶσαν κακίαν ἐκτὸς ἀποκλείων, ἐγκλειόμενος δείκνυται.

ἀλλά μοι σκόπει τὸ τοῦ ἀνδρὸς εὔψυχον καὶ εὐσύνετον καὶ τὴν ἐν τοῖς δεινοῖς καρτερίαν· ἐν μέσοις γὰρ τοῖς δεινοῖς καὶ σχετλίοις καὶ λίαν ἐπαχθέσιν ὢν ὁ ἀνὴρ οὐ σφοδρῶς ἤλγησεν, οὐκ ἐδυσφόρησεν, οὐκ ἐπιλήσμων ἧς εἶχε πρὸς τὸ θεῖον ἐλπίδος, ἐξ ἧς καὶ τὸ σώζεσθαι κατὰ τὸν θεῖον Δαυὶδ ἐγένετο. οὐκ ἄλλο τι τῶν τοιούτων οὐδὲν ἔπαθεν· ᾤετο γὰρ ἀνδρὸς ἀγεννοῦς καὶ μικροψύχου καὶ μὴ πρὸς θεὸν ὁρῶντος οἰκεῖα ταῦτ' εἶναι. ἀλλ' ὅλως ὡμολόγει χάριτας τῷ θεῷ τοῖς τε προτέροις ἔμενε μνημονεύων ἀεὶ τοῦ μνημονεύοντος θεοῦ καὶ τὰς εὐχὰς ἀναπέμπων καὶ τῇ πρὸς τοῦτον ἐγγύτητι καὶ ἐλπίδι τὴν ἅλωσιν γενναίως ὑπέφερε.

ὅρα δὲ οἷ' ἔργα δρῶν ὁ θαυμάσιος ἐν τῇ φρουρᾷ διετέλει· ἀεὶ γὰρ αὐτῷ ψυχῆς φροντίζοντι καὶ ἐπιμελομένῳ ἐμέλησε κἀκεῖσε ψυχῶν θείας ἐπιγνώσεως καὶ καθάρσεως, πάντα τρόπον τοὺς εἰσιόντας σαγηνεύοντι πρὸς σωτηρίαν, διδάσκοντι, νουθετοῦντι, συμβουλεύοντι, παραινοῦντι, πείθοντι· τί μὲν οὐ λέγοντι, τί δὲ τῶν πρὸς σωτηρίαν φερόντων οὐ πράττοντι; οἷς δῆτα τοὺς τῷ ἐχθρῷ καὶ ἀποστάτῃ κατειλημμένους συλλαμβάνων ὁ μακάριος ἐπεδείκνυτο. |

f 116r V ἀλλ' ἐπ' ἄλλο τρεπτέον τῷ λόγῳ διήγημα· μεθ' ὃ παρευθὺς τὴν ἐλευθερίαν ἀπέλαβεν. εὕδοντι γὰρ ἤδη τῷ μακαρίῳ κατὰ γῆς ἔδοξεν

28 ἐν μιᾷ δὲ τῶν νυκτῶν ἐπιστὰς αὐτῷ τις ἱεροπρεπὴς τὴν ἰδέαν, ἐκ Μύρων ἐνταῦθα πάρειμι, ἔφη καὶ βιβλίον κρατῶν διεκελεύετο τοῦτο λαβεῖν. ὁ δὲ λαβὼν ἀνεγίνωσκε καὶ ἔψαλλε· τάχυνον ὁ οἰκτίρμων καὶ σπεῦσον ὡς ἐλεήμων εἰς τὴν βοήθειαν ἡμῶν, ὅτι δύνασαι βουλόμενος. καὶ τὸ ᾀδόμενον ἔργον πρωίας ἐγένετο· τότε γὰρ τοῦ τῆς αἱρέσεως προμάχου Θεοφίλου ἐξ ἀνθρώπων (ἀν — νῶν) γενομένου ἡ τοῦ θεοῦ ἐκκλησία τῶν σεπτῶν εἰκονισμάτων [f 189r] ἀπείληφε τὴν εὐπρέπειαν· καὶ ὁ τίμιος Ἰωσὴφ ἐλευθερωθεὶς τῆς εἱρκτῆς πρὸς τὴν Κωνσταντινούπολιν διεσώζετο.

6 ἀπάγεται, ἀ corr ex ὑ L 7 cf Ps. CXLI 3 14 cf Ps. XVII, 7 16 ὅ^{ω}λος VL 22 dativi σαγηνεύοντι — πείθοντι correcti ex nominativis σαγηνεύων — πείθων L nominativos habet V 24 τί μὲν — πράττοντι in marg L om V | 26 συλαμβάνων V 27 τρεπέον L 28 γρ εὕδων γὰρ ὁ μακάριος

ἄνδρα | ἱερακικῇ στολῇ κεκοσμημένον — Νικόλαον τὸν μέγαν ἡ 7 f 5r L
ὄψις ὑπέγραφεν — παρεστάναι τε αὐτῷ καὶ εἰπεῖν, ὡς ἐκ Μύρων τῆς Λυκίας τούτῳ παραγέγονε, καὶ δέξαι τόνδε τὸν τόμον. καὶ τὸν λαβεῖν ἀνὰ χεῖρας ἀναγινώσκειν τε καὶ ψάλλειν τὸ τάχυνον ὡς οἰκτίρμων, καὶ σπεῦσον ὡς ἐλεήμων εἰς τὴν βοήθειαν ἡμῶν, σύνδρομον γὰρ τῇ βουλήσει τὸ δύνασθαι κέκτησαι. καὶ τὸ ἐν νυξὶ μέσαις ᾀδόμενον εἰς ἔργον πρωίας ἐξέβη καὶ δύο τὰ κάλλιστα συνανεφάνησαν. τοῦ τε γὰρ προμάχου τῆς δυσσεβοῦς αἱρέσεως Λέοντος ἐκποδὼν γενομένου ἡ τοῦ θεοῦ ἐκκλησία τῶν σεβασμίων εἰκόνων ἀπείληφε τὴν εὐπρέπειαν, ὅ τε τίμιος Ἰωσήφ, ἡ ἔμψυχος στήλη, τὸ πνεύματος καταγώγιον, τῆς εἱρκτῆς καὶ τῶν δεσμῶν διαδρὰς πρὸς τὸ Βυζάντιον παρεγένετο καὶ πάλιν ἡ Κωνσταντίνου καὶ τοῖς δυοῖν τούτοιν κόσμοιν κεκόσμητό τε καὶ ἔθαλλεν.

ὃ δὲ ἐφεξῆς τοῖς εἰρημένοις ἑπόμενον εὑρίσκω ἱκανὸν τεκμήριον μάλιστα τῆς τοῦ ἀνδρὸς ἁγνείας τε καὶ ἐπὶ πλεῖστον καθάρσεως, τοῦθ' ἡμῖν προθήσων καὶ διηγησόμενος ἔρχομαι. ἐπειδὴ γὰρ λείψανον ἱερὸν τοῦ θείου ἱεροκήρυκος Βαρθολομαίου πεπλουτηκὼς ἦν ὁ πάντων πενέστατός τε καὶ ἀπορώτατος, νεῴ τε ἐπ' ὀνόματι τούτου ὡς ἂν οἷός τε ἦν ἐδείματο καὶ ἐν νῷ περ εἶχεν, ὅπως ἄριστα τὰς ἐκείνου πανηγύρεις ἱεραῖς μελῳδίαις κατακοσμήσει τε καὶ καλλυνεῖ· καὶ δὴ τῆς συνήθους αὐτῷ τοῦ ὑπνώττειν ὥρας παραγενομένης τε καὶ ἐνστάσης μικρὸν | ὑπνώσαντι ἔδοξεν ἰδεῖν ἄνδρα ἐνδύματός τε σεμνότητι ἤθους f 116 v V
τε εὐσταθείᾳ καὶ κοσμιότητι κατάκοσμον πυξίδ' εὐαγγελικὴν ἐπὶ τῆς

16 ἐν δὲ τοῖς ὁρίοις τῆς Θεσσαλονίκης γενόμενος λείψανον εὑρὼν τοῦ ἁγίου ἀποστόλου Ἀνδρέου (in marg ἐν ἄλλοις συναξαρίοις λέγεται τοῦ Βαρθολομαίου λείψανον) ἔλαβε καὶ ναὸν ἐπ' ὀνόματι τούτου ἐδομήσατο· καὶ ἐν φροντίδι (φροντίδη) πλείονι (πλείωνι) καθεστήκει μελῳδήμασι τὰς αὐτοῦ πανηγύρεις κατακοσμῆσαι σὺν δάκρυσι καὶ στεναγμοῖς ἠξίου τοῦ ποθουμένου τυχεῖν· τοιγαροῦν καὶ ἐπέτυχεν· ὁρᾷ γὰρ νύκτωρ ἄνδρα τινὰ φοβερὸν ἐν ἀποστολικῷ τῷ σχήματι ἀπὸ τῆς ἱερᾶς τραπέζης εὐαγγέλιον ἀράμενον καὶ τοῖς στέρνοις αὐτοῦ ἐπιτεθέντα καὶ εὐλογίας αὐτὸν ἀξιώσαντα. καὶ ἔκτοτε ἔλαβε τὸ χάρισμα τῆς ὑμνῳδίας καὶ οὕτως ἀπόνως καὶ μετ' εὐκολίας τὰς ἱερὰς μελῳδίας ἅπασαν τὴν ἐκκλησίαν ἐφώτισεν ἐν ὕμνοις.

ἤδη κατὰ γῆς ἔδοξεν αὐτῷ ὃ καὶ κρεῖττον καὶ πλάτων ἐν τῇ σωκράτους ἀπολογίᾳ [21 C] καὶ διαλεγόμενος αὐτῷ ἔδοξέ μοι οὗτος ὁ ἀνὴρ in marg VL δοκεῖν μὲν εἶναι add V 8 δυσεβοῦς L 12 ἡ κωνστανίνου πόλις L δυσὶ^{οῖν} VL 13 ἔθαλεν VL 19 ἐδήματο, in marg γρ ἐδομήσατο ὃ καὶ παρα πλάτωνι εὕρηται: + L 20 ἱεροῖς μεμελισμένοις ῥήμασι in ras praeter litteras ἱερ L cf 8, 6 22 γρ ὑπνώσας in marg V cf ad 6, 22

κεφαλῆς ἀπὸ τῆς θείας τραπέζης ἀράμενον καὶ ἐπιθέντα τοῖς στέρνοις, τῆς ἐν χειρί τε ἅμα εὐλογίας αὐτὸν ἀξιώσαντα. ἐντεῦθεν αὐτῷ ποταμοὶ σοφίας σὺν τῷ προτέρῳ τεχνικῷ λόγῳ ἐκ τῆς καρδίας ὑπερερρύησάν τε καὶ ἐξεχέθησαν. καὶ ταύτῃ τοίνυν πρὸς ἐκείνους καθὰ καὶ τὸ πρότερον χρησάμενος φαίνεται, ὧν ἄριστος γέγονε τοῦ βίου ζηλωτής, τὴν ἐκείνων σεμνὴν πολιτείαν ἱεροῖς μεμελισμένοις ῥήμασι προτιθέμενος, ἵνα τῇ τῶν μελῶν γλυκύτητι τοὺς ἀκροωμένους ἡδύνων τοῖς λεγομένοις πλέον προσανέχειν ποιῇ, κἀντεῦθεν πρὸς τὰ ἴσα διανιστᾷ. τοσοῦτον οὖν ἐνθυμήμασιν ἀλλεπαλλήλοις καὶ πυκνοῖς καὶ ὅτι καλλίστοις f 5v L μεμέστωτο τότε καὶ ἐνεπέπληστο, ὡς εἰ | καὶ μὴ τεχνικῷ προφορικῷ τούτοις κάλλος ἐτίθει, τούτοις μόνοις ἀρκεῖν ἄριστον ἡγεῖσθαι τὸν εὐφημούμενον. τοσοῦτον δὲ τῇ τῶν λόγων τέχνῃ ταῦτ' ἐπεμόρφου καὶ ἐπεχρώννυ, ὡς εἰ καὶ τοῖς νοήμασι πολλῷγε ἔλαττον κάλλος ἐνῆν, τὴν τοῦ λόγου πλοκήν τε καὶ δύναμιν, ὡς βέλτιστα ταῦτα παρεμφαίνειν δύνασθαι.

οὕτως ἐν ἀμφοτέροις εὐδοκιμηκὼς ἦν ὁ ἀνήρ· ἐντεῦθεν πᾶσιν ἀνθρώποις ἡδὺ φθέγμα καὶ λάλημα γίνεται, οὐκ ἰδιώταις μόνον καὶ ἄρχουσιν, ἀλλ' ἤδη καὶ βασιλεῦσιν αὐτοῖς ἐράσμιος καταστάς. καὶ τούτων ἐνώπιον τοῦ θείου φωτὸς τῶν ἀρετῶν τούτου λάμψαντος f117r V λογικὸς οὐρανὸς | ἀναδέδεικται τοῖς αὐτοῦ κάλλεσι θεὸν προτρέπων ὑμνεῖν.

ἀλλ' ἔδει πάλιν τὸν δίκαιον ὑπὸ χερσὶν ἀσεβῶν γενέσθαι, ἵν' ὡς χρυσὸς ἐν χωνευτηρίῳ ταῖς ἐπηρείαις δοκιμασθῇ. τοῦ γὰρ ἀσεβοῦς Ἀρμενίου Λέοντος τὰ σκῆπτρα τῆς βασιλείας ἀναξίως ἐκδεξαμένου καὶ τὴν βασιλικὴν ἁλουργίδα περιθεμένου τὰ τῆς ἀσεβοῦς τῶν εἰκονομάχων αἱρέσεως ἀνανεοῦται καὶ ἀναζῇ καὶ πάλιν τούς, ὅσοι τῆς ὀρθῆς μοίρας καὶ οὓς ἡ νόσος μὴ ἐλυμήνατο, οἱ τῆς ἐκκλησίας φθορεῖς συλλαβεῖν ἠβουλήθησαν. ὧν ἐπειδὴ λόγῳ τε καὶ βίῳ ὀνομαστότατός τε καὶ γνωριμώτατος ὁ θαυμάσιος οὗτος ὢν διετέλει, διὰ σπουδῆς καὶ τῶν ἀναγκαίων γίνεται τῷ βασιλεῖ τὸ τοῦτον πρὸ τῶν ἄλλων εἰς ὄψιν ἐλθεῖν ἑαυτοῦ. ᾤετο γάρ, ὡς εἰ τούτου κρατήσειε, τοῦ πάντα ἀηττήτου καὶ στερροῦ τὴν εὐσέβειαν, τοὺς ἄλλους πρὸς αὐτὸν ὁρῶντας ἑτοίμως ἂν ἡττηθῆναι καὶ ὑποχειρίους αὐτῷ γενέσθαι. καὶ δὴ τοῖς βασι-

16 ἐντεῦθεν τοῖς ἁπάντων στόμασιν ᾄδεται καὶ πᾶσι ποθεινὸς (ποθηνὸς) καὶ ἐπέραστος οὐ μόνον ἰδιώταις καὶ ἄρχουσιν, ἀλλὰ καὶ αὐτοῖς τοῖς βασιλεῦσι γίνεται.

3 ὑπερερύεσάν V ὑπερρύησάν L 25 καὶ τὴν — περιθεμένου om L 33 ἂν om V

λικοῖς ὅσοι τῆς ὑπηρεσίας καὶ θεραπείας ἐπιτάγμασιν ὅτι τάχιστα πεισθέντες τὰ τοῦ ἀνδρὸς μεθ' ὅτι πλείστης σπουδῆς τε καὶ ἐπιμελείας ἀνιχνεύουσί τε καὶ ἐρευνῶσιν. οἷς δῆτα συλαγωγηθείς τε καὶ συλληφθεὶς ὁ μακάριος οὗτος ἀνὴρ ὑπάγεται πρὸς τὸν βασιλέα, μᾶλλον δὲ σὺν ἐκείνοις εἴσεισι, μηδ' ὁπωσοῦν ἀναβαλλόμενος μηδὲ δειλιῶν μηδέ τι περιφέρων ἀνίας σύμβολον· ὥσπερ γὰρ τῶν καλῶν ἡγεῖτο τὸ πρὶν κρατηθῆναι φεύγειν τοῦ νόμου τοῦτο προστάσσοντος, οὕτω καὶ τὸ συλληφθέντα | παρεῖναι καὶ μὴ δειλαίνεσθαι. f 117v V

ἐνταῦθα δὴ τοῦ λόγου γενόμενος πῶς ἂν ἄριστα παραστῆσαι δυνήσαιμι ἢ τὸ τοῦ βασιλέως πρὸς τὸν ἄνδρα ὑποκοριστικὸν καὶ θωπευτικὸν καὶ τὴν μετὰ τοῦτο θρασύτητα καὶ ἀπήνειαν, ἢ τὸ τοῦ ἀνδρὸς ἀνένδοτον καὶ ἀνύπεικτον καὶ τὴν πρὸς αὐτὸν μετὰ συνέσεως | ἔνστασιν; εὐθὺς γὰρ εἰσιόντα τὸν ἅγιον λαμπρῶς τε ἄγαν καὶ φιλο- f 6r L τίμως ὑποδέχεται ἐξαναστὰς τοῦ θρόνου καθίσαι τέ οἱ κελεύσας καὶ λόγοις θωπευτικοῖς πρῶτον — ᾔδει γάρ, ὡς ὑποκλίνειν ὡς τὰ πολλὰ καὶ πείθειν ἡ βασιλικὴ θωπεία τοὺς ἀπειθεῖς πέφυκε — κατὰ τοῦ ἀνδρὸς χρῆται· εἰ μὲν ἐμοὶ καὶ τοῖς ἐμοῖς δόγμασι πεισθείης καὶ ὑπείξειας λέγων, ὦ Ἰωσήφ, πρῶτα μὲν εὐσεβῆ καὶ θεῷ φίλα πεπραχὼς ἔσῃ, πῶς γὰρ οὔ; ταῖς εἰκόσι — προσετίθει δ' ἅμα καὶ ὕβρεις — σέβας μὴ νέμων. εἶτα δὲ καὶ τιμαῖς καὶ τιμῶν ταῖς μεγίσταις ὅτι κάλλιστα τιμηθήσῃ καὶ ὑψωθήσῃ καὶ τῶν ἐμοὶ φιλουμένων ἔσῃ τὰ πρῶτα. ἐγώ, βασιλεῦ, εὐσέβειαν μέν, ἦ δ' ὃς μικρὸν ἐπισχών, ἥγημαι τὸ τοῖς ὀρθοῖς καὶ ἀκλινέσι καὶ θείοις ἐμμένειν δόγμασιν, ὧν ἐστι καὶ τὸ τὰς ἱερὰς καὶ θείας εἰκόνας ἐπὶ τῇ τῶν ἀρχετύπων δόξῃ περιπτύσσεσθαι καὶ τιμᾶν· τὴν γὰρ τῆς εἰκόνος τιμὴν ἐπὶ τὸ πρωτότυπον διαβαίνειν Βασίλειος ὁ θειότατος ἔφησεν. πῶς ἂν τοίνυν ταύτας μὴ προσκυνῶν εὐσεβῆ καὶ θεῷ φίλα φαινοίμην διαπραττόμενος; τοὐναντίον γὰρ ἅπαντ' ἀσεβῆ καὶ θεῷ καὶ τῶν ἀνθρώπων τοῖς εὐσεβέσι μισούμενα. τιμὴν δὲ μόνην τὴν ἐν τοῖς οὐρανοῖς ἀποκειμένην τοῖς μακαρίοις | τὴν ἀγήρω καὶ ἀδιάδοχον φημί, ἧς παροχεὺς ὁ πάσης ἀο- f 118r V ράτου καὶ ὁρατῆς κτίσεως δημιουργός. ἐπειδὴ τοίνυν θωπεύων ὁ βασιλεὺς ἀποκρουσθεὶς ἔγνω τἀνδρὸς καθάπερ βέλος ἀντιτυπεῖ καὶ σκληρῷ

3 ἐξιχνεύουσί L συλλαγωθείς V συλλαγωγηθείς L 8 γρ συλαβοῦσι in marg V καὶ τὸ τοῖς συλλαβοῦσι in marg γρ συλληφθέντα L 10 δυναίμην corr e δυνήσαιμι L ὑποκοριστικὸν καὶ deletum ἄνδρα et θωπευτικὸν linea in ras coniunctum L 16 πέφυκεν V 17 ἐμοὶ pro ἐμοῖς V πειθείης V 22 γρ τὸν δὲ βασιλεῦ εὐσέβειαν μὲν ἥγημαι φᾶναι in marg L 25 περιπτύσεσθαι V 28 ἅπαν VL 29 μιμούμενα V φημί non ante ἧς, sed post ἀοράτου V L

τινι προσπεσόν, ἄλλῃ τὰς ἡνίας μεταφέρει καὶ μετακινεῖ. μικροῦ γὰρ πρότερον φιλίαν ὑποκρινόμενός τε καὶ προσποιούμενος νῦν κατὰ τοῦ ἁγίου λυσσᾷ καὶ θρασύνεται τραχέσι καὶ λίαν ἀνημέροις ῥήμασι χρώμενος πρὸς αὐτόν. ἐπειδή μοι προσηνεῖ καὶ ἡμέρῳ προσελθεῖν οὐκ ἠθέλησας καὶ ὑπεῖξαι, ὄψει με μικροῦ μετ' ὀλίγον, εἰ μὴ ὅτι τάχιστα μεταβληθείης τοὺς τρόπους, κατὰ σαυτοῦ θηριώδη καὶ πάνυ πικρότατον κολαστήν. ἔλεγε δὲ ταῦτα ὑπόδρα πρὸς τὸν ἅγιον βλέπων κατὰ τὸν ποιητήν, καὶ ὄντως φερώνυμον τοῦ ὀνόματος πάντοθεν φοβερὸς καὶ γλώττῃ καὶ ὄμμασι καὶ ἐξουσίᾳ. καὶ ὃς ὑπολαβών, τοῦ χάριν ταῦτ' ἀπειλεῖς, ὦ βασιλεῦ; ἔφη. οἴει γάρ με τὰς σὰς ἀπειλὰς ἢ καὶ τὰς κολάσεις αὐτὰς πτήξαντα ὑποκύψαι σου τῇ ἀσεβεῖ θρησκείᾳ; μηδαμῶς οὕτως ἔχε· τοσοῦτον γὰρ ἐμμένων ἐγὼ τῇ εὐσεβείᾳ διατελῶ καὶ τοσοῦτον πρόθυμος ὑπὲρ τῆς εὐσεβείας εἰμὶ παθεῖν, ὡς καὶ δέκα
f 6v L *θανάτους | ὑπὲρ ταύτης εἰ τοῦθ' οἷόν τε ἦν ὑποστῆναι· οὕτως οὐδέν τι τοὺς ὑπὲρ τῆς εὐσεβείας κινδύνους οἴομαι. πρὸς οὖν ταῦτα, ὦ βασιλεῦ, κατάξαινε μὲν τὰ μέλη, τοῖς σιδηρείοις δ' ὄνυξι διάξεε καὶ κόπτε τὰς σάρκας, πᾶν δ' ἄλλο δρῶν φαίνου ὅτι ἂν ᾖ σοι θελητόν· κρείττονες γὰρ ἡμεῖς τῶν κολάσεων ἐνδυναμοῦντα τὸν Χριστόν, ὑπὲρ οὗ καὶ τὸ πάσχειν, ἔχοντες.*

f 118v V *ἃ μὲν οὖν διείλεκται | τῷ βασιλεῖ καὶ ἅπερ ἐκεῖνος αὐτῷ, ταῦτα· ἃ δὲ ἐφεξῆς ἔπαθεν ἀκουστέον. ἐπειδὴ γὰρ προσβαλὼν ὁ τύραννος πάντα ἀήττητον καὶ στερρὸν ἔγνω τὸν ἄνδρα καὶ φύσιν ἀδάμαντον οἱονεὶ πρὸς τὰ χείριστα κολακειῶν στερρότερον, ἀπειλῶν ἀνώτερον, βασιλικῆς ἐξουσίας κρείττονα, πάντοθεν ὀχυρόν τε καὶ ἀκατάπληκτον, τῶν ἄλλων μεθέμενος ἐξορίᾳ μετελθεῖν τὸν ἄνδρα κελεύει σὺν ἀτιμίᾳ προσθείς. ἐντεῦθεν οἱ δεινοὶ τῶν Χριστοῦ μαθητῶν κολασταί, οἱ πικροὶ τῶν κακῶν ἐφέσεων πληρωταί, ἀσχημόνως τὸ τρίχινον αὐτῷ περιδύουσι ῥάκος, τὴν κίδαριν σφενδονῶσι, κατὰ κόρρης αὐτὸν ἀφειδῶς παίουσιν, μηδὲν ἀντιλέγοντα μηδὲ ἐρίζοντα, μηδέ τι τῆς αὐτοῦ φιλοσοφίας ἀνάξιον ἐργαζόμενον, ἐπειδὴ πρὸς τὸν διδάσκαλον ὡς μαθητὴς ἄριστος διετέλει βλέπων, ὃς λοιδορούμενος οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει, ἀλλ' ὡς μὴ πάσχων διέκειτο. διὰ τῆς πόλεως ἀτίμως πομπεύεται, ἔξω τῆς πόλεως πρόθυμος ἄγεται καὶ πρὸς τὸν τῆς*

31 *καὶ πολλὰ ὑπὸ τῆς ὀρθοδόξου πίστεως ἀγωνιζόμενος ἐξωρίσθη εἰς Χερσῶνα παρὰ τοῦ δυσσεβοῦς Ἀρμενίου ὑπὸ Βάρδα τοὔνομα καταδικασθεὶς καλῶς γε τοῦτον διελεγξάμενος.*

1 *μετακλινεῖ* L 7 cf Hom. B 245 al 9 *ὄμασι* L 16 *σιδηρίοις* V 20 inter *ἐφεξῆς* et *ἔπαθεν* supplet in marg *οὐκ ἤκουσεν ἀλλ'* L 24 *ἐξορι'* L 26 *τρύχινον* VL 30 I. ep. Petri II 23

ἐξορίας αὐτοῦ τόπον — Χερσῶνα τοῦτον ἐκάλουν — τοῖς ἀπάγουσι χαίρων ὁ μακάριος συναπῆλθε. κἀκεῖ μὲν οὖν παροικῶν ἐν τῷ σκηνώματι διετέλει, ἵνα τὴν ἐν ὄρει ἁγίῳ κατὰ τὸν θεῖον Δαυὶδ κομίσηται κατασκήνωσιν, ἐπιπονωτέρως δὲ καὶ ὀδυνηροτέρως ὡς τὸ εἰκὸς καὶ ὅλως παρηλλαγμένως. οὐ μὴν ὁ πάντα πρὸς τὸ συμφέρον οἰκονομῶν καὶ μετασκευάζων ἐπὶ τὸ βέλτιον, ὁ πᾶσι τρόποις πρὸς σωτηρίαν καθοδηγῶν, ὁ καὶ συμφοράς τε καὶ εὐπραξίας μετὰ λόγου παρέχων μέχρι τελευτῆς παρῆκεν ἐνεῖναι τὸν δίκαιον τοῖς λίαν ὀδυνηροῖς τε καὶ ἐπιπόνοις, ἀλλὰ λύει | πάλιν τοῦτον τῶν λυπηρῶν, ἀναψυχὴν f 119r V
παρέχει τῶν μακρῶν πόνων· ἀναγορεύει κἀνταῦθα τὸν ἀθλητὴν μεγάλῳ καὶ ὑψηλῷ τῷ κηρύγματι ἐπὶ τὸ Βυζάντιον, ὅθεν μετὰ τῆς καλῆς ἀτιμίας ἐξῆλθεν, ἐπανελθεῖν ὡς ἔδει παρασκευάσας. τοῦ γὰρ δυσσεβοῦς Θεοφίλου βασιλέως τῶν ἐνθένδε ἀπαναστάντος καὶ πρὸς τὰ ἐκεῖθεν μεταβάντος δικαιωτήρια διάδοχος τῆς βασιλείας, εἰ καὶ μὴ τῆς ἀσεβοῦς αἱρέσεως, ὁ υἱὸς αὐτῷ γίνεται Μιχαήλ, παραδυναστεύουσαν ἔχων τὴν μητέρα Θεοδώραν, Θεοδώραν τὴν ἐν δεσποίναις ἀοίδιμον, τὴν τοῦτο ἐν βασιλίσι γενομένην, ὅπερ Κωνσταντῖνος ὁ μέγας ἐν βασιλεῦσιν, ὁ τῶν εὐσεβῶν δογμάτων διάπυρος ἐραστής. αὕτη τοίνυν ἱερὸν χορὸν ἀνδρῶν θείων καὶ τῷ ὄντι φιλοχρίστων καὶ τοῦ ἐμοῦ Χριστοῦ μαθητῶν συναγεῖραι διὰ σπουδῆς ἔχουσα, ἵνα τὴν τῶν εἰκονομάχων θρησκείαν κακίστην αἵρεσιν ἐγγράφως κυρώσονται καὶ πόρρω πάσης ψυχῆς ἀπελάσωσιν, εὐθὺς πρὸ τῶν ἄλλων τῶν τὴν καλὴν ἐκδημίαν ἀποδεδημηκότων εἰσκαλεῖται τὸν ἄνδρα τοῦτον, ἐπειδὴ καὶ πρῶτος ἐξορίαν κατεδεδίκαστο, τὸν μέγαν τῆς ἀληθείας ἀγωνιστήν.

ἐπανιόντι τοίνυν τῷ μακαρίῳ καὶ ἤδη τῇ πόλει προσεγγίζοντι — ὢ πῶς ἂν ἄριστα τὰ τότε συμβάντα διηγησαίμην; — προσυπαντᾷ μὲν λαμπρῶς ὁ βασιλεὺς ἅμα τῷ πατριάρχῃ καὶ ὅσοι τοῖς δυσὶ παρωμάρτουν ἀρχόντων καὶ γνωρίμων τῷ βασιλεῖ κατὰ λόγον τῶν τε τῆς πόλεως ἐντίμων ἱερέων τῶν ἐγγιζόντων θεᾷ τῷ ἐγγίζοντι τάγματα, Ναζιραίων χοροὶ τῶν θεῷ | τῷ τοῦ κόσμου χωρισμῷ μᾶλλον f 119v

10 *καὶ μετὰ τὴν τελευτὴν αὐτοῦ ἀναρρυσθεὶς (ἀναρυσθεὶς) ἐκ Χερσῶνος παρὰ τῆς βασιλίδος Θεοδώρας τῆς ποιησάσης τὴν ὀρθοδοξίαν καὶ τῶν ἱερῶν σκευῶν τῆς τοῦ θεοῦ μεγάλης ἐκκλησίας φύλαξ γενόμενος Ἰγνατίου πατριαρχοῦντος τοῦ θείου, οὗ μετὰ τὴν ἐκδημίαν παρὰ Φωτίου στέργεται καὶ ἐκθειάζεται· οὗτος γὰρ μετὰ τοῦτον πατριάρχης ἀναδείκνυται.*

1 *ἐξωρίας* V 3 I.Chronic. XXIIX 2 4 *ἐπιπονοτέρως* V 5 *παρηλλαγμένως* VL 16 ad *δεσποίναις* in marg *γρ αὐγούσταις ὃ καὶ κρεῖττον* V 18 verbis *ὁ τῶν* finitur L 28 *κατάλογος*

πλησιαζόντων· νεολαία πᾶσα παίδων, μειρακίσκων, νεανιῶν· ἡλικία πᾶσα· καὶ διπλοῦς ἦν ἀγὼν τοῖς κρείττοσι μὲν καὶ ὑψηλοτέροις τὸ τούτῳ περιτυχεῖν καὶ τῆς θείας φωνῆς ἀπὸ στόματος ἀκοῦσαι, τοῖς ἥττοσι δὲ καὶ οὐ τοῦ ἴσου λόγου, ἐπειδὴ τοῦτ' ἦν οὐκ ἐφικτόν, τὸ τῆς ἁγίας καὶ ἡδίστης ὄψεως ἀπολαῦσαι· ἅπαντες ἐν κρότοις, ἐν εὐθυμίᾳ τε καὶ θυμηδίᾳ ὅσοι τῶν εὐσεβῶν τε καὶ φιλοθέων καὶ ὧν ἀνώτερον τῆς νόσου γέγονεν ἡ ψυχή — εἴ τι δεῖ τὴν ἀσεβῆ ταύτην αἵρεσιν νόσον, ἀλλὰ μὴ θάνατον ἀποκαλεῖν —, ἀνεμιμνήσκοντο τῶν προτέρων ἀγώνων ἐκείνων καὶ τὸν ὅσιον ὑπερεπήνουν καὶ ἐμακάριζον. καί γε οὕτως εἰσελθὼν μετ' οὐ πολὺ τῶν ἱερῶν σκευῶν τὸ τῆς ἐκλογῆς σκεῦος — εἰ καὶ τολμηρὸν εἰπεῖν — τῆς τοῦ θεοῦ μεγάλης ἐκκλησίας τὴν φυλακὴν πιστεύεται.

εἶεν· δοκεῖ δέ μοι ἤδη σχεδὸν τῷ βίῳ καὶ τοῖς λαμπροῖς ἔργοις μαθεῖν πολλῶν ὄντων τῶν ἐπ' εὐσεβείᾳ περιφανῶν καὶ γνωρίμων, καὶ μικρὸν πρὸ τοῦ ἀνδρὸς καὶ πάλαι, οὓς τε ὑπερέβη καὶ οἷς παρίσωτο καὶ ὧν ἄριστος γέγονε μιμητής, καὶ διὰ τοῦ τρόπου τίν' ὡς περιττὸν εἶναι τὴν παρεξέτασιν. ἵνα δὲ μὴ τῆς νύσσης ἐκτὸς γένωμαι καὶ ἵνα σαφέστερον ταῦτα γνωρίσωμεν, ἀντεξεταστέον εἶναί μοι δοκεῖ.

Ἀδὰμ πρῶτον ἐν ἀνθρώποις πλάσμα θεοῦ γενέσθαι κατηξιώθη καὶ τοῦ παραδείσου πρῶτος πολίτης, ἔτι δὲ καὶ πρῶτος νενομοθέτηται· ἀλλ' εἰ καὶ προσῆκε σιωπᾶν, ὡς προπάτορα τοῦτον τιμῶσιν, τῆς ἐντολῆς οὐκ ἐγένετο καὶ | f 120r τῆς τῆς Ἐδὲμ διὰ τοῦτο τρυφῆς ἀποκέκλειστο· ὁ δὲ τῶν τοῦ Χριστοῦ θείων ἐπιταγμάτων ἄριστος φίλος γέγονε καὶ τῇ ἐναρέτῳ καὶ θείᾳ καὶ πρὸς θεὸν ὁρώσῃ πολιτείᾳ τῶν τοῦ παραδείσου καλῶν ἀπολέλαυκεν.

μέγας Σολομῶν σοφίᾳ καὶ περιβόητος εἰς ἄκρον σοφίας καὶ τῆς τῶν ὄντων γνώσεως ἐληλακώς· ἀλλὰ καὶ οὗτος ὁ νῦν εὐφημούμενος τῆς ἐκείνου σοφίας τε καὶ ἐπὶ πλεῖστον φρονήσεως πολλῷ μικρὸν ἀπολείπεται. καὶ ὁ μὲν τῆς δοθείσης αὐτῷ σοφίας ἀνάξια καὶ ἀσύμφωνα παντελῶς ἔργα πέπραχε πτῶμα μέγιστον ἐκπεσών· ὁ δὲ τῆς πιστευθείσης τῷ πνεύματι χάριτος περιδέξιον μέχρι τέλους ὄργανον γέγονεν.

ἐπαινεῖς τὴν τῶν Βαβυλωνίων παίδων πρὸς τὸν τύραννον ἔνστασιν, ἐξ ἧς πρὸς τὸ πῦρ ἐκεῖνο τὸ ἐπὶ πλεῖστον ἐπαρθὲν τοῦ ἀέρος ἐχώρησαν, ἐν ᾧ τὰ παράδοξα τῶν μὲν ἐντὸς δροσιζομένων, τῶν δ' ἐκτὸς καταφλεγομένων. πολλῷ μᾶλλον ἐπαίνει τῶν ἐν πυρὶ τῶν

---

10 Act. IX 15 23 γέγονεν 30 πέπραχεν

ἐπηρειῶν τούτου βίον, ᾧ πολλάκις κυκλούμενος ἀνάλωτος παντελῶς ἐδείκνυτο, ἀεὶ διὰ βίου θαυματουργῶν.

ἀλλ' εἰ βούλεσθε, τοὺς τῆς προτέρας καὶ παλαιᾶς ἀφέντες νομοθεσίας ἐπὶ τοὺς τῆς νέας μετέλθωμεν διαθήκης, πρὸς οὓς πλέον ὁ θαυμάσιος ἀφορῶν πάντα τὸν βίον ἀπηύθυνε. τίς ἄλλος ἐπ' ἴσης τῷ νῦν εὐφημουμένῳ ἢ τοῦ τῆς ἀρραγοῦς πέτρας τῆς πίστεως Πέτρου τὸν ζῆλον ἐζήλωσεν, ἢ Παύλου τοῦ τῆς ἐκλογῆς σκεύους τὸ πασῶν τῶν ἐκκλησιῶν κηδεμονικὸν καὶ τοὺς ὑπὲρ τῆς εὐσεβείας ἱδρῶτας καὶ πόνους, ἢ τὸ τοῦ θείου Στεφάνου μακρόθυμον καὶ τῶν δεινῶν βασανιστῶν προνοητικόν; ἐφιλοσόφησε πάντων τῶν ἀποστόλων τὴν εὐτέλειαν, τῶν ἀσκητῶν | τὴν ἐγκράτειαν, πάντων τῶν πρὸ Χριστοῦ f 120v καὶ μετὰ Χριστὸν εὐσεβείᾳ καὶ θείοις ἔργοις ἀναλαμψάντων τὴν κατὰ τῶν παθῶν ἀνδρείαν, καὶ ἁπλῶς εἰπεῖν πάντων τοὺς χρηστοὺς τρόπους εἰς μίαν τὴν ἑαυτοῦ ψυχὴν συλλεξάμενος φορτίδα ταύτην πασῶν ἀνέδειξεν ἀρετῶν, ἄρτιος ἐν πάσαις γενόμενος.

ἔπειτα οὕτω λαμπρῶς καὶ ὁσίως πολιτευσάμενος ἀγγελικὸν ἐπιδεξάμενος ἐν σώματι τὸ πολίτευμα τελευτᾷ τὸν βίον ὁ διὰ βίου παντὸς μελέτην τοῦτο ποιούμενος, ὁ πόρρωθεν τοῦτο ποθῶν. γίνεται κἀνταῦθα μνήμης ἄξιον τῆς ἐκεῖθεν οἷόν τι προοίμιον δεξιώσεως. ἄνθρωπος γάρ τις ὠνητὸν κεκτημένος παῖδα φυγόντα ἐπὶ τὸν τῶν ἁγίων Θεοδώρων νεὼ, ἵνα οἱ τοῦτον ἐπιδείξωσι, παραγίνεται. καὶ τῆς ἡμέρας, καθ' ἣν παραγεγονὼς ἦν, παρελθούσης ἀδημονῶν, ὅτι μὴ τῆς χάριτος τῶν ἁγίων ταχέως ἀπολελαύκει, τὰ πολλὰ διετέλει. τῆς δὲ νυκτὸς παραγενομένης ὕπνῳ κατείληπτο. ὑπνοῦντι τοίνυν ἔδοξεν ἐλθεῖν τοὺς μάρτυρας καὶ πρὸς αὐτὸν φάναι· τοῦ χάριν, ἄνθρωπε, λελύπησαι; ἀποδεδημηκότες γὰρ ἦμεν ἡμεῖς· ὁ γὰρ θεῖος

16 ἐν τούτοις καλῶς διαρκέσας καὶ ὁσίως καὶ ἀκάκως πολιτευσάμενος ἀνεπαύσατο ἐν κυρίῳ. λέγεται γὰρ ἡ ἁγία αὐτοῦ ψυχὴ ὀψικευομένη (ὀψηκευομένη) παρὰ τῶν ἁγίων μαρτύρων καὶ ἀγγέλων ἀνῆλθεν ἐν τοῖς οὐρανοῖς. ἄνθρωπός τις ἔχων δοῦλον χρήσιμον, ἐπείπερ ὁ δοῦλος ἔφυγεν, ἀπελθὼν ὁ κύριος αὐτοῦ εἰς τὸν ἅγιον Θεόδωρον τὸν Φανερωτὴν παρεκάλει αὐτὸν φανερῶσαι τὸν δοῦλον αὐτοῦ· προσμείνας δὲ ἱκανῶς καὶ μηδὲν μαθὼν ἐβούλετο ἀναχωρῆσαι· ὄρθρου δὲ ὄντος καὶ λόγου ψυχωφελοῦς ἀναγινωσκομένου μικρὸν ἀφύπνωσε καὶ ὁρᾷ τὸν μάρτυρα λέγοντα αὐτῷ (αὐτόν)· ἵνα τί περίλυπος εἶ; τοῦ ποιητοῦ Ἰωσὴφ κοιμηθέντος ταύτῃ τῇ νυκτὶ ὀψικεύθη ἡ ψυχὴ αὐτοῦ παρὰ πάντων ἡμῶν, οὓς κανόσι (κανῶσιν) καὶ ὕμνοις ἐτίμησεν, καὶ ἐσυνοψίσθη εἰς θεόν. καὶ νῦν πάρειμι πρὸς σέ. τοῦ λοιποῦ τοίνυν δηλώσει· ἄπελθε κατὰ τόνδε τὸν τόπον — τοὔνομα προσειπὼν — καὶ εὑρήσεις ὃν ἐπιζητεῖς οἰκέτην σου: —

16 ἐπεὶ δὲ 20 γρ ὤνιον ἢ ἐμνημένον ἃ καὶ κρείττω in marg 22 παραγεγωνὼς

ὑμνογράφος Ἰωσὴφ τῶν ἐνθένδ᾽ ἐκδεδημηκώς, ἵνα πρὸς κύριον ἐνδημήσῃ, λαμπρῶς πρὸς ἡμῶν ἐπομπεύθη πάντων, οὓς ἔτι τοῖς τῇδε περιὼν ἱεραῖς μελῳδίαις ἐτίμησεν. τὰ νῦν δέ σοι παραγεγόναμεν καὶ ὧν ἂν εἴη σοι χρεία δηλώσωμεν. οὕτω τοῖς ὁμοτρόποις τετίμητο· τοιούτους εἶχε τοὺς συνοδοιπόρους ἐκεῖνος· τοιοῦτοι τούτῳ συνανήεσάν τε καὶ παρέπεμπον.

οὗτος ὁ λόγος σοι παρ᾽ ἡμῶν· τοιοῦτον τὸ ἐμὸν δῶρον καί σοι μάλα οἰκεῖον, ἐπειδὴ λόγῳ μόνῳ τῶν ἐν τῷ κόσμῳ χαίρων μάλιστα
f 121r διετέλεις. ἀποδέξαιο δὲ ἡμᾶς, ὦ θεία καὶ ἱερὰ καὶ ἐμοὶ φίλη κεφαλή, εἴτε τῆς ἀξίας ἐγγύς, εἴτε καὶ μή, τῇ προαιρέσει, μὴ τῇ δυνάμει προσβλέπων, καὶ ταῖς σαυτοῦ πρεσβείαις ἄγοις ἡμᾶς πρὸς τὰ κάλλιστα, πρὸς τὰς τῶν ἀφανῶν πολεμίων παρατάξεις ῥωννύων, ἵνα τὴν κατὰ τούτων ἀνδρείαν ἔχοντες ἐπιτύχοιμεν τοῦ ἐλέους τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ πρέπει δόξα σὺν τῷ αἰτίῳ πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ καὶ ὁμοτίμῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν: — +

ΤΟΥ ΑΥΤΟΥ ΠΕΛΑΣΙΜΟΥ
ΕΚΦΡΑΣΙΣ
ΠΕΡΙ ΤΟΥ ΙΕΡΟΥ ΤΩΝ ΦΕΡΡΩΝ

Πολλῶν ὄντων ἃ τὴν τῶν Φερρῶν πόλιν κοσμεῖ καὶ σεμνύνει καὶ διάδηλον πᾶσι ποιεῖ, οὐχ ἧττον τούτων ἁπάντων οἶμαι καὶ τὸν σεπτὸν καὶ θεῖον νεώ, τὸν περικαλλῆ φημι καὶ θαυμάσιον, τὸν ἐπ᾽ ὀνόματι τῶν θείων δωρεῶν φερωνύμων δομηθέντα, τῶν ὡς ἀληθῶς ἐπωνύμων καὶ τοῖς ἔργοις αὐτοῖς θείας δωρεὰς ἑαυτοὺς ἀναδειξάντων.

ἔχει γὰρ ὧδέ πως· αὐλή τίς ἐστι μέσον εἰληφυῖα χῶρον τῆς πόλεως καὶ ἐν αὐτῇ φρέαρ ὡραῖόν τι κατεσκεύασται, ὕδατι ποτίμῳ καὶ διειδεῖ κοσμούμενον, τοῦ τῆς ἐν Ἀθήναις Ἐννεακρούνου καὶ Καλλιρρόης γλυκίονι. καὶ τὴν αὐλὴν περίστωον διαδέχεται ἐπὶ πολὺ μῆκος ἐκτεταμένον. τὴν εἴσοδον δὲ τοῦ νεὼ βαθμίδες διδόασιν οὐ πολλαί, τῷ πρώτως ἐνεργείᾳ κοσμούμεναι τελείῳ ἀριθμῷ καὶ τῆς πύλης προκύψαντα τὰ τοῦ νεὼ κάλλη λαμπρὰ περιφαίνονται. ἐπανέ-
f 121v χεται μὲν οὖν | ὅλος κίοσιν ἕξ, ἐπ᾽ἴσης εἰς ἑκάτερα μέρη μεριζομένοις,

5 *συνανίεσαν* 15 *τέλος* rubro post + 18 *τῶν φερῶν*, in marg rubro *γρ τῶν σερῶν* 19 *φερέων* 21 *περικαλῆ* 30 *προκύψαντι*

οὔτ' ἐπὶ πολὺ τῷ ὕψει προιοῦσιν, οὔτ' ἔλαττον τοῦ δέοντος ὀλίγοις οὖσιν· ὧν οὐκ ἐξηλλαγμένη μὲν ἡ χροιά, ἕκαστον δὲ πολλὰ καὶ καλὰ παρ' ἑαυτοῦ δείκνυσι χρώματα. πολλῶν οὖν ὄντων χρωμάτων, ἃ τοῖς κίοσι τὸ ὡραῖον συνεργανίζουσιν, ὁ τοῦ χλωροῦ πλεονασμὸς τὸν μείζονα κόσμον προβάλλει. στοαὶ δ' ὑπεράνω τὰς ἐπὶ κίοσι στοὰς διαδέχονται, οὐ μὴν ἴσαι ταῖς κάτω, ἀλλ' ἐπί τε μῆκος καὶ πλάτος εὖ μάλα διατείνουσιν. καὶ ταύτας ἐπ' εὖρος περίπατοι διαδέχονται. ὑπὲρ δὲ τῶν στοῶν ἕτεραι τοσαῦται τὸν ἀριθμόν, ὁμοίαν θέσιν ἐπέχουσαι. τοῖς μὲν οὖν εὐωνύμοις τοῦ νεὼ μέρεσιν ὁ τοῦ ποιμένος θρόνος ἐνίδρυται, λιθοξόων ἔργοις ἐνσεμνυνόμενος· τοῖς δ' ἐναντίοις οἰκίσκος ἐγκατεσκεύασται, ἐν ᾧπερ οἱ τῶν θείων δωρεῶν φερωνύμως κληθέντες ἐγκεκολαμμένοι διατελοῦσιν ὄντες, ἀργύρῳ περιλαμπόμενοι. καὶ τὸ προπύλαιον τοῦ δωματίου ὡς κάλλιστον, δυσὶ κίοσιν ἐρειδόμενον, ὀκτὼ πλευραῖς ἰσοπλεύροις, ἴσον ἀπεχούσαις ἀλλήλων, συναπαρτιζομένοις. ταῖς κορυφαῖς δὲ τῶν κιόνων κόσμος εἰκόνες τῶν σεπτῶν ἱεροκηρύκων πεπήγασιν. ὁ δὲ τὸ κατασκεύασμα τοῦ νεὼ διαιρῶν χῶρος σιδηραῖς κιγκλίσι τυγχάνει περικλειόμενος.

τὸν δ' ἄμβωνα μέσος τοῦ νεὼ περιείληφε χῶρος· βαθμίδες δ' ἐννέα τὴν εἰς αὐτὸν ἄνοδον διενεργεῖν ἐσχήκασιν. καὶ τὸ τέλος τῆς κλίμακος ἐντελοῦς ἀριθμοῦ πέρας γίνεται· τέσσαρες δὲ κίονες τοῦτον ἀνέχουσιν, τετραγωνικῇ πυραμίδι σχηματιζόμενον. ἑξῆς δ' ὁ λίθινος σωλήν, κατιθὺ τοῦ βήματος λήγων καὶ μεταξὺ τῶν δύο κείμενος, τοῦ τ' ἄμβωνος καὶ τοῦ θείου βατῆρος. μετ' αὐτὸν δ' ἡ τοῦ βήματος εἴσοδος | [f 122r] δυσὶ κίοσιν ὁριζομένη τε καὶ τελευτῶσα. καὶ μετ' αὐτὴν ὑπὲρ τοῦ θείου καὶ ἱεροῦ βωμοῦ μηχάνημα ὑπερίδρυται, τέτρασι κίοσι βεβηκός. ἡ στοὰ δὲ τοῦ βήματος χρυσῷ καταστραπτούσαις ψηφῖσιν, ἔτι δὲ καὶ παντοίοις εἴδεσι χρωμάτων διηνθισμέναις κατακεκόσμηται, ἐν ᾗπερ ἐπὶ θρόνου καθήμενος ὁ λόγος κεχρωματούργηται, ὅ τε θεῖος Θεόδωρος Στρατηλάτης, ἥ τε παρθένος καὶ μήτηρ, ἡ μὲν ἐν τοῖς δεξιοῖς, ὁ δ' ἐξ εὐωνύμων τούτῳ παρεστηκότες. ὑπὲρ δὲ ταύτης τῆς γραφῆς ἑτέρα τις ἐσχημάτισται, ὁ Χριστὸς ἀπὸ γῆς ἀπαίρων καὶ πρὸς τοὺς οὐρανοὺς ἀνερχόμενος καὶ ὑπὸ ἀγγέλων παραπεμπόμενος. τὸ τῆς στοᾶς δὲ πλάγιον κυπαρίττοις κατακοσμεῖται καλαῖς μέχρι πολλοῦ μὲν ἀνιούσαις τῷ ὕψει, οὐδὲν δὲ τῶν ἀληθείᾳ λειπομέναις. ὑπὸ δὲ τοῖς φυτοῖς εἰκόνες τῶν ἱερῶν ἀποστόλων προσίστανται. ὅρα καὶ τὸ τοῦ ζωγράφου σόφισμα ὡς σοφόν· ταῖς μὲν

4 συνεργανίζουσιν 23 τοῦ τοῦ βήματος

γὰρ κυπαρίττοις δηλοῦν ὡς ἔοικεν ἠβούλετο τὴν ἐξ ἐθνῶν ἐκκλησίαν ἐκ χαμεροποῦς τε καὶ χαμαιζήλου εἰς τοσοῦτον ὕψους καὶ δόξης προεληλυθυῖαν· τῷ δὲ τοὺς διδασκάλους ταῖς ῥίζαις ὑποστῆσαι τὴν ῥίζαν ὅθεν οἶμαι τῆς ἡμῶν σωτηρίας. καὶ μετὰ τὴν ἐν βήματι τῆς στοᾶς διάκαμψιν αὖθις ἐπὶ τῷ τοίχῳ χεὶρ ἑτέρα γραφέων, ἄγγελος εὐαγγελιζόμενος τῇ παρθένῳ καὶ λόγους περιηχῶν τῆς σωτηρίας τῆς ἡμετέρας προοιμιώδεις. ὑπὲρ δὲ ταύτης ὕελοι πεπήγασιν, αἳ τὰς ἡλιακὰς ἀκτῖνας μὲν δι' ἑαυτῶν τῷ νεῷ παραπέμπουσι, τῇ δὲ παρ' ἑαυτῶν ἀνακλάσει τὰ πέριξ φωτίζουσιν. οὐ μὴν ταῖς ἐπὶ τούτῳ τῷ μέρει μόναις f 122v περιαστράπτεται, | ἀλλὰ καὶ ταῖς ἐν τῷ καταντικρὺ τοίχῳ καὶ ἁπλῶς εἰπεῖν, ἵνα μὴ κατὰ μέρος διεξίω, οὐκ ἔστιν οὐδὲν τοῦ νεὼ μέρος, ὃ μὴ ταύταις κοσμεῖται καὶ καταφωτίζεται, τῶν ταύτας τεχνισαμένων τοῦτο μηχανησαμένων, ἵνα μηδὲν ἀφεγγὲς μηδὲ σκοτεινὸν εἴη, ἐπεὶ καὶ φῶς ὁ τούτῳ κατοικῶν καὶ φώτων τὸ πρῶτον καὶ κάλλιστον.

σηκοὶ δ' ἑκατέρωθεν τοῦ βήματος σφαιροειδεῖς ᾠκοδόμηνται, ὧν ἅτερος τοῖς ἱεροῖς σκεύεσι ταμίας γεγένηται· στοαὶ δ' ἑκατέρωθεν δύο τὸ βῆμα τῶν σηκῶν διαιροῦσι.

τοὺς μὲν οὖν ἄλλους τοίχους ζωγραφίαι χρώμασι κεχρωματουργημέναι κοσμοῦσι· τὸν δὲ πρὸς τῇ δύσει λιθιδίοις χρυσῷ καταστράπτουσιν, ὡς δοκεῖν ὁλόχρυσον εἶναι τὸν τοῖχον ταῖς τοῦ χρυσοῦ περιλάμψεσι. καὶ πρὸς τῇ βάσει τοῦ τοίχου ὡραίως ἔχουσαι παρῳκοδόμηνται· ὅθεν καὶ τὴν κλῆσιν ἣν ἐσχήκασιν ἐσχηκέναι δοκῶ. ὑπὲρ δὲ τῶν πυλῶν στοὰ κατεσκεύασται. καὶ τὴν στοὰν τρεῖς ἐφ' ὕψος ἕτεραι διαδέχονται, μετὰ δὲ ταύτας ἕτεραι τηλικαῦται τὸν ἀριθμόν.

ἡ δ' ὀροφὴ τοῦ νεὼ μολίβδῳ περικαλύπτεται· ἑκκαίδεκα δ' ἀνάβαθμοι τὴν ἔξοδον τοῦ νεὼ τῷ βουλομένῳ διεξιέναι διδόασι. καὶ πρὸ τῆς κλίμακος ἐπ' ὀβελῷ τινι λιθίνῳ λεκάνη ἐρήρεισται, πορφυρίζουσα μὲν τῷ χρώματι, εἰς δὲ κύκλον τῷ σχήματι περιηγμένη.

ἑτέρα δ' αὐλὴ τὴν αὐλὴν διαδέχεται, μᾶλλον δὲ μία μέν, τῷ δὲ μεταξὺ τοίχῳ διῄρηται. τῷ τοίνυν ἐξωτέρῳ χώρῳ φρέαρ ἐνίδρυται καὶ φρεάτων τὸ κάλλιστον· οὐ μὴν οἱ ἀντλοῦντες ἱμονιᾷ τὸ ὕδωρ ἀνέλκουσι, κηλώνειον γὰρ μεμηχάνηται τὴν τοῦδε χρείαν ἀποπληροῦν. |

f 123r πέρας μὲν οὖν ἔστω τοῖς λεγομένοις, εἰ δέ τι καὶ παρεῖται τοῖς λόγοις, συγγνωστέον νεὼ κάλλη διεξιοῦσι τῆς αὐτῶν δυνάμεως κρείττονα: — +

2 χαμεζήλου 4 σωτηρία tum ras 16 σκεύεσιν 19 κοσμοῦσιν καταστράπτουσι 25 τῶ 26 διδόασιν 33 κηλόνειον

ΤΟΥ ΑΥΤΟΥ ΠΕΔΙΑΣΙΜΟΥ ΕΚΘΕΣΙΣ ΤΙΝΩΝ ΘΑΥΜΑΤΩΝ ΤΩΝ ΑΓΙΩΝ ΜΕΓΑΛΩΝ ΜΑΡΤΥΡΩΝ ΚΑΙ ΘΑΥΜΑΤΟΥΡΓΩΝ ΘΕΟΔΩΡΩΝ

Τῷ μὲν σοφῷ Σολομῶντι τὴν τῶν σπουδαίων ἀθανασίαν ἐμφῆναι τῷ λόγῳ βουλομένῳ καὶ εὐζωίαν εὐθὺς ἐν προοιμίοις οὕτω πως φάναι παρέστη· ψυχαὶ δικαίων ἐν χειρὶ κυρίου, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. ἐμοὶ δὲ φερωνύμω τὼ Θεοδώρω, Τήρωνα καὶ Στρατηλάτην, ἀθλητὰ δύο πολὺ κλέος ἔχοντε θαυμάσαι προελομένῳ τοῖς ἐκείνου ῥήμασι βραχύ τι παρενθέντι προσειπεῖν ἔνεστι πρὸς τόδε τὸ τῆς διανοίας ὄμμα τείνοντι· ἀλλά γε βασάνων καὶ ἄλλους ἂν ῥύσαιντο.

δηλώσει δὲ ὁ λόγος προιὼν ἐν τοῖς ἐφεξῆς.

τὸ τοίνυν ἀθανάτους καὶ ἀνωλέθρους εἶναι καὶ εὐδαιμονεῖν δήπου τῶν ἀγαθῶν τὰς ψυχάς, εἰ δεῖ τι τῆς εὐθείας ἀγαθοῦ θεωρήματος χάριν ἐκτραπέσθαι, διπλῇ γ' ἄν τις ἐπίσταιτο· ὅ τε γὰρ Σολομῶν — ᾧ τί γένοιτ' ἂν ἐπὶ φρονήσει καὶ σοφίᾳ παρισούμενον; — ἀποφάνσει τῇ ἀνωτέρω τὴν τῆς ψυχῆς διάγνωσιν ἀποφηνάμενος μέγας διαφερόντως εἰς ἀληθείας διάσκεψιν καὶ κατάληψιν· οὐ μὴν ἀλλὰ καὶ τὸ θαύμασιν | ὡς ἀκτῖσι καὶ μετὰ τὴν τοῦ βάρους ἀπόθεσιν f123r *περιαυγεῖ τοὺς ἀγαθοὺς τὴν περίγειον λῆξιν μέγιστόν τε καὶ ἱκανώτατον τοῦ ψυχάς, ἧπερ Σολομῶν ἔφη, ταύτῃ δήπου καὶ ἔχειν τεκμήριον.*

περὶ μὲν οὖν ψυχῆς ἐκείνων τοιαύτας ὑπολήψεις ἔχειν ὀρθῶς ἂν ἔχοι δήπου καὶ ἀσφαλῶς· εἰ δ' ἐνίσταμαι τουτονὶ τὸν ἀγῶνα μήτ' εὐλαβηθεὶς τὸ τοῦ ἐγχειρήματος ἐργῶδες, μήτε φωνῇ καὶ διανοίᾳ, ᾗ προσῆκε, κεκαθαρμένος, μηδεὶς ἐγκαλείτω τὸν κατ' ἀξίαν ἐπαινέτην δῆθεν ἐπιζητῶν. τοῦ γὰρ τὸν ὡς προσῆκε τοῖν στεφανίταιν ἐπαινέτην εὑρεῖν ῥᾷον τὸ κοτύλῃ τὴν θάλατταν διαμετρεῖν, ἢ σταγόνας ὑετοῦ καὶ ψάμμον θαλάσσης ἤ τι τῶν τοιούτων ἀπαριθμεῖσθαι. ὅσοι καὶ

1 titulus rubro repetitus, initio om *θεοδώρων*, in hoc rubro om *αὐτοῦ* rubro additur *εὖ δεσπο (εὐλόγησον δέσποτα)* 5 Sap. Sal. III 1 26 *φανῇ*

in marg inferiore:

ἐσκεμμένα ἀπεφήνατο *ἀθανάτους καὶ εὐ*
σολομῶν μέγιστος ὢν εἰς *δαίμονας τὰς τῶν*
ἀληθὲς *ἀληθείας* *διαφερόντως κατά* *δικαίων ψυχάς*
α *β* *ληψιν* *γ*

γὰρ ἥψαντο καὶ τόλμαν ἔσχον ἐγχειρῆσαι τοῖς ἐγκωμίοις τοῖν θαυμαστοῖν ἀνδροῖν, τοῦ κατ' ἀξίαν διήμαρτον· οἱ μὲν γὰρ ἐγγύς, οἱ δὲ πορρωτέρω τοῦ καθήκοντος, καὶ οἱ μὲν μᾶλλον, οἱ δ' ἧττον ἀφίκοντο. οὐκοῦν οὐδὲν ἀπεικὸς ἂν εἴη δήπου, καὶ αὐτὸν κατ' ἐκείνων τινὰ τῶν προσηκόντων διαπεσεῖν ἐγκωμίων. ἀποδέξεσθαι δ' εὖ οἶδα τὼ μάρτυρε καὶ δύναμιν λόγου παρέξετον, ἐπεὶ καὶ τούτοιν, ὥσπερ θεῷ φίλον, τὸ κατὰ δύναμιν. ἔτι δὲ καὶ τόδε μοι πρόσεστιν ἀποχρῶν, ὥς γέ μοι δοκεῖ, καὶ μόνον εἰς ἀπολογίαν· οὐδὲ γὰρ παλαιὰ τοῖς πάλαι συγγεγραμμένα προθήσειν ὁ λόγος κατεπείγεται θαύματα καὶ βίον τοῖν ἀριστέοιν, ἀλλὰ νέα καὶ νέοις ἀπὸ στόματος ἱστορούμενα καὶ θρυλλούμενα, τὰ μὲν ἐπὶ τῶν ἡμετέρων γονέων ἐκτελούμενα καὶ δρώμενα, οὐκ ἄλλοθί που, ἀλλ' εἴσω Φερρῶν καὶ περὶ αὐτάς, αἷς
f 124r καὶ ὁ σεπτὸς καὶ θεῖος καὶ περικαλλὴς τοῖνδε νεὼς ἐγκαθίδρυται, ἐν ᾧ καὶ τιμῶν ἀπολελαυκότες διατελοῦσι τὰ μάλιστα, | ἔστι δ' ἄγε καὶ καθ' ἡμᾶς. ἀλλὰ μὲν γὰρ ἑτέροις συγγράψαι σοφῶς ἐμέλησε θαύματα, οἳ καὶ τοῖς αὐτῶν λόγοις, ἀγωγῆς ὅπως εἰχέτην καὶ γένους καὶ ἐπιτηδευμάτων, ἔτι γε μὴν τὴν περὶ τοὺς λόγους ῥώμην καὶ περὶ τὰ στρατιωτικὰ δεινότητα καὶ τὴν λαμπρὰν ἄθλησιν καὶ τὸ σεμνὸν τοῦ βίου διεξῄεσαν, ὅτι πλείστην εὐπορίαν πανταχόθεν ταῖς παντοδαπαῖς ἐγκωμίων ὕλαις τοῖς αὐτῶν λόγοις ἐφευρηκότες. ἐμοὶ δὲ ταῦτ' ἄρα ἐκθήσειν καὶ γραφῇ παραδοῦναι τῶν ἀναγκαιοτάτων μόνα τῆς ἄλλης τῶν ἐγκωμίων ἀκολουθίας χωρίς — περιττὸς γὰρ ἂν εἶναι δόξω τισὶ καὶ περίεργος ταῦτα λέγων καὶ γράφων πρὸς τοὺς οὐχ ἧττον ἢ ἐγὼ τὰ ἐκείνοιν εἰδότας καὶ ἃ πάλαι πολλοὶ λελογογραφήκασιν, — ἃ μήτε τὰ τῆς οἰκουμένης, ὡς τά γε πρὸ τούτων, διειλήφασι πέρατα πολλῶν ἀκοαῖν ἐνηχηθέντα, μήτ' ἐκ συγγραφῆς, ἀλλ' ἐκ ψιλῆς διηγήσεως ἴσμεν, ὡς ἄν, ἵν' οὕτως εἴπω, μὴ παρακμάσῃ καὶ παραρρυῇ, μηδὲ τὸν ἐκ τοῦ μεγάλου χρόνου μαρασμὸν καὶ φλόγα, εἴτουν ἀφανισμὸν ὑποστῇ παντελῆ κατὰ τὸν Σοφοκλέα, ἀλλ', ὡς ἂν εἴποι τις, εὖ θάλλοντα καὶ ἀκμάζοντα τῇ τῶν λόγων δρόσῳ διατελῇ τοῖς ἐς ὕστερον.

ἄρξομαι τοίνυν ἐντεῦθεν, ὅθεν ἄρχεσθαι ἄμεινον· ἄμεινον δ' ἐκ τοῦ πρώτου τῶν ἀγράφων, πάντες γ' ἂν φαῖεν. τὸ γὰρ τῷ χρόνῳ πρῶτον οὕτω καὶ τῷ λόγῳ τακτέον εἶναί μοι δοκεῖν.

ἐξῄει τῶν οἰκείων ὅρων τὸ δυσμαχώτατον ἔθνος καὶ ἀθεώτατον, ἀκάθεκτον ταῖς ὁρμαῖς καὶ ἀλόγιστον, τὸ τὰς ἑαυτοῦ πόλεις κατέχειν ἡσυχῇ καὶ δεσπόζειν εὐδαιμονίαν μὴ κρῖνον, ἀλλ' εἰ μὴ καὶ τὰς ἀλλο-

12 σεῤῥῶν in marg 2. man 13 περικαλῆς 29 cf. Soph. Aias 700
33 δοκεῖ? 36 ἀλοτρίας

τρίας προσκτήσαιτο, πᾶν ὁτιοῦν | δεινὸν πάσχειν οἰόμενον καὶ δυστυ- f 124v
χίαν τὸ πρᾶγμα κατονομάζον ἀθλίως μάλα καὶ ἀσεβῶς. τοὺς ἀλιτηρίους οἶδ' ὅτι Πέρσας ἀκούετε· οἳ δὴ πάνθ' ὅσα ἐπῆλθον καταστρεψάμενοι καὶ ληλατήσαντες δεινῶς καὶ ἐλεεινῶς καί τινα κώμην κατέδραμον. ἐν ᾗ καὶ παῖδά τινος εὐσεβοῦς γυναίου, ἐφ' ὃν μόνον τὰς ἐλπίδας μετὰ θεὸν ἔτεινεν ἐκείνη καὶ ὀφθαλμὸν ἔχειν τοῦ βίου μόνον ἐνόμιζεν καὶ γήρως βακτηρίαν καὶ τοῦ γένους διάδοχον, παραστησάμενοι καὶ δεσμοῖς ἀρρήκτοις χεῖρας καὶ πόδας περισφίγξαντες μεθ' ἑαυτῶν ἦγον οἷ γ' ἂν αὐτοῖς ἐπιέναι ἐδόκει· ἀμέλει καὶ κοπτομένη τὴν τοῦ παιδὸς ὡς θανόντος ἀποδημίαν καὶ ὀλοφυρομένη — τί μὲν οὐ προϊεμένη τοῦ στόματος γοερὸν μέλος, τί δ' οὐ πράττουσα δυστυχές; — ἄνω καὶ κάτω στρεφομένη καὶ τὰ μητρῷα σπλάγχνα σπαραττομένη — τί γὰρ γένοιτ' ἂν περιπαθέστερον μητρὸς τὸν τῶν οἰκείων ὠδίνων καρπὸν περιῃρημένης καὶ ἐκκεκομμένης; — ἀπορίᾳ συσχεθεῖσα δεινῇ βούλευμα βούλεται — δεινὴ γὰρ ἀπορία κατ' Ἀριστοτέλην εὐπορίας μήτηρ γενέσθαι — γενναῖον τῷ ὄντι καὶ ἀξιάγαστον. νεῷ γάρ τινι τῶν φερωνύμων μαρτύρων ἐγγύς που κατῳκοδομημένῳ φέρουσα ἑαυτὴν ἐπιρρίπτει καὶ θερμοῖς ὅτι μάλιστα τοῖς δάκρυσιν περιρρεομένη καὶ τοὺς μαρτυρικοὺς πόδας τοὺς ἐν εἰκόνι διαβρόχους ἐργαζομένη τοῖς δάκρυσιν, ὡς ἡ ἐν εὐαγγελίοις συγχωρηθεῖσα γυνὴ τοὺς δεσποτικοὺς πόδας τῷ πολλοῦ γε ἀξίῳ μύρῳ, καὶ μονονουχὶ τούσδε κατ' ἐκείνην ταῖς θριξὶν ἀπομάττουσα σφοδρῶς ἐξελιπάρει τὼ μάρτυρε τὰ ἑαυτῆς μὴ παρόψεσθαι δάκρυα, ἀλλ' ὅτι τάχιστα τὰς ποθεινὰς ὄψεις τοῦ
παιδὸς ἐλευθέρου ζυγοῦ δουλείου | παρασκευάσειν κατιδεῖν καὶ ταῖς f 125r
ὠλέναις περιβαλέσθαι μητρικῶς. οὔπω τῆς ἱκετείας τὸ πᾶν ἤνυστο καὶ τὼ θερμὼ προστάτα, θερμοῖς κατακλασθέντε τοῖς δάκρυσι, ζηλωτὰ τοῦ δεσπότου, πέλαγος εὐσπλαγχνίας χέοντος, γενομένω κἂν τούτῳ, δακρύων τὸ γύναιον ἀπαλλάττετον. ἅτερος γὰρ τοῖν ἀθληταῖν τῆς συγγενικῆς τοῦ Στρατηλάτου ῥοπῆς οὐκ ἀμοιρῶν τοῖς πολεμίοις ἱππότης ἐπιστὰς ἐπισκοτίζει τὰς ὄψεις τῶν ἀντιπάλων· λύει καὶ γὰρ — ὢ θαύματος καὶ δυνάμεως μαρτυρικῆς, ᾗ δωρεῖται θεὸς τοὺς γνησίους λάτρας αὐτοῦ — σὺν ἀμηχάνῳ τάχει τὸν παῖδα καὶ τῇ μητρὶ παραχρῆμα παρίστησιν ἐλεύθερον ἐκ δούλου, εὔθυμον ἀντὶ λυπηροῦ, περιῃρημένον ἀντὶ δεσμώτου τὰ δεσμά, ποθεινὸν θέαμα τῇ μητρὶ μάλιστα καὶ συνάντημα ἡλικιώταις, συγγενέσι, γνησίοις. τοὐντεῦθεν καὶ μᾶλλον ἡ μήτηρ, ᾗ δήπουθεν τὸ ἑσπέρας μὲν ηὐ-

8 περισφίξαντες 9 αὐτοὺς 10 ὀλοφυρωμένη 14 ἐκκεκομένης 20 ev. Ioann. XI 2 XII 3 24 ἐλευθέρους 27 εὐσπλαγχνοίας 28 ἀπαλάττετον

λίσθη κλαυθμός, εἰς δὲ τὸ πρωὶ ἀγαλλίασις, ἐπὶ τὸν κύριον ἐπεποίθει καὶ τὰς ἐλπίδας πρὸς τοῦτον καὶ τοὺς αὐτοῦ θερμοτέρους οἰκέτας ἔτεινεν.

ἓν μὲν δὴ τοῦτο τῶν ἀθλητῶν τοιούτων καὶ οὕτως ὑπερφυὲς καὶ θαυμάσιον, ἡλίκων τιμῶν καὶ δόξης καὶ στεφάνων εἶεν ἀπολαύοντες καὶ νῦν πρὸ τῆς τελειώσεως, μεγίστην ἔχον τὴν δεῖξιν. ἐφ' ἕτερον δὲ τῷ λόγῳ βαδιστέον ἤδη, οὐχ ἡμῶν πόρρω πη τεθαυματουργημένον, ἀλλ' ἐν Φερραῖς αὐταῖς καὶ τοῖν ἀθληταῖν τοῖνδε νεῴ, ἵν' αὐτὸ τοῦτο πάλιν ἡ μαρτυρικὴ πρὸς θεὸν παρρησία καὶ γνησιότης τρανώτερον ἀναδειχθείη.

κατῄει τις βαρὺς φόρων ἀπαιτητὴς ἐκ βασιλέως, ὃς δεινὸν ἡγεῖτο, εἰ μὴ τῷ κεφαλαίῳ τὸ κέρδος ἐξισωθείη καὶ διπλῆν ἀνθ' f 125v *ἁπλῆς εἰσπράξαιτο τὴν ἀπαίτησιν | ἧκεν οὗτος κἀπὶ τοὺς τῶν Φερρῶν καθολικῆς ἐκκλησίας ἀγρούς, καταλημψόμενος, εἴποι τις ἂν ὀρθῶς, οὐκ ἀπαιτήσων τοὺς ἐκεῖσε· ὡς δ' ἐκ δικαίου, δέον ἀταράχους ἀφεῖσθαι τοὺς ἀγροικούς, οὐκ εἴατο τῷ τότε ἀρχιερεῖ ταῦθ' ἃ βούλοιτο ποιεῖν ἐκεῖσε, δεινὸν ἡγησάμενος τὴν τῶν φόρων δικαίαν ἔκλειψιν καὶ ζωῆς, οὐ χρημάτων ἀφαίρεσιν ταύτην εἶναι ὑπειληφώς, τοὺς τῆς εὐσεβείας βρόχους τοῖς δεινοῖς τῆς φιλοχρηματίας ξίφεσι διατεμὼν τόλμαν τολμᾷ καὶ λίαν αἰσχράν. εἰς γὰρ τὴν αὐλὴν τρέχων εἴσεισι τοῦ θείου τῶν μαρτύρων νεώ, ἐπισκήπτει τε μεθ' ὅτι πλείστου θυμοῦ τῶν ἀκολούθων εἰσδῦναι τὸ ἱπποτροφεῖόν τινας καὶ τῶν ἵππων τοὺς εὐγενεστάτους, τοὺς τῶν ἁγίων Θεοδώρων εἶναι θρυλλουμένους, ἐξαγαγεῖν. δύο δ' ἤστην, ἑκάτερος ἑκατέρῳ τοῖν ἀθληταῖν ἀνατεθειμένω, μηδενὸς τῶν ἁπάντων τούτοις ἐποχουμένου, ἀλλὰ τοῖν στεφανίταιν ὡς ἂν εἴποι τις τηρουμένοις, ἵν' ἀναλωθεῖεν μετὰ τὸ εὖ τεθράφθαι εἰς δέον. οἱ δὲ τῷ δεινῷ καὶ ἀσεβεῖ θελήματι διακονησάμενοι τῶν φορβειῶν ἐκλύουσιν· εἶτα τούτοιν ἐπικαθίσαντε δύο ἐκεῖ τούτω οἳ προσεταχθήτην ἦγον. πρὸς ταῦτα τοίνυν ὁ ἱερώτατος ἐκεῖνος ποιμὴν τὼ μάρτυρε περιφρονηθῆναι καὶ καθυβρισθῆναι ὑπειληφώς, ζήλου θείου κέντρῳ διερεθισθεὶς καὶ τὴν καρδίαν πληγείς — οὐκ οἶδα εἴτε τὸ μέλλον τῷ διορατικῷ τῆς ψυχῆς προορώμενος θαῦμα, εἴτε τοῖν ἀθληταῖν εἰς τοῦθ' ὅπερ εἰργάσατο ἀοράτως ἐπιρωννύμενος, ἢ εἰ καὶ ἄμφω ταῦτα ὁμοῦ — εἴσω τοῦ νεὼ χωρεῖ καὶ τὼ εἰκονιζομένω γενναίω μάρτυρε τῆς ἀληθείας Θεοδώρω καθορᾶν νομίσας διὰ τῶν* f 126r *σεπτῶν εἰκόνων αὐτοῖν ταύτας οἷον ἐπιπλήττει τῇ βακτηρίᾳ | οὐχ ὁρᾶτε φάμενος καθυβριζόμενοι καὶ περιφρονούμενοι; καὶ παραχρῆμα*

---

25 *τετράφθαι* 27 *φοβειῶν* 32 *ἐπιρρωνύμενος*

— ὢ θαύματος καὶ χάριτος θείας — αἱμάτων ὡς ἐκ σωμάτων ζώντων σταλαγμοὶ κατερρύησαν καὶ μονονουχὶ διειλεχθήτην τὼ στεφανίτα, ὡς ζῶμεν, ὁρῶμεν, ἀλλ' ἀνεχόμεθα. οἷς γὰρ ἐθαυματουργείτην, ταῦτα παρεδήλουν τοῖς τηνικαῦτα. οὐ μὴν ἀλλὰ θαύματι τῷδε συμμιγνύετον ἕτερον θαῦμα. τὼ γὰρ τοῖν ἵπποιν ἀναβάτα ἐφθακότε ἄνωθεν κάτω βάλλουσιν ἐλεεινῶς, τῆς τῶν μαρτύρων θέας οὐκ ἀνασχομένω, ἄπνω σχεδὸν ἐπὶ βραχύ τι γενομένω. τὼ δ' ἵππω παραχρῆμ' ᾠχοντο ἀπιόντες καὶ οὐ πρότερον ἐστήτην, πρὶν οὗπερ ἤστην ἀφικέσθαι τὸ πρότερον.

τὰ μὲν οὖν τοῖν μεγάλοιν τῆς ἀληθείας ἀγωνισταῖν τοιαῦτα τῆς παρὰ τῶν λόγων βοηθείας εἰς αὔξησιν ἀνενδεᾶ. ἐμοὶ δὲ καιρὸς ἐπὶ τούτοις ἂν εἴη δή που τὸν Σολομώντειον ἐκδεξαμένῳ λόγον εἰκότως εἰπεῖν· δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν κυρίῳ ὁ μισθὸς αὐτῶν. ὡς γὰρ ἀπὸ θέας καλλονῆς κτισμάτων ἀναλόγων ὁ γενεσιουργὸς καθορᾶται, ὥς τις τῶν σοφῶν ἔφη, οὕτω δὴ καὶ τοὺς ἁγίους πολλῶν θαυμάτων αὐτουργοὺς ὁρῶντες εὖ ζῶντας εἶναι πιστεύομεν.

ἐφεξῆς τοίνυν τὸ χρόνῳ μετὰ τοῦτο, τῶν δ' ἄλλων τῷ μηδενὶ σχεδὸν ἀποδέον τῷ λόγῳ διηγητέον. ἥκειν λόγος ἐστὶ Φερρὰς τὸν βασιλέα Θεόδωρον — Λάσκαρις οὗτος ἐπεκέκλητο —, ἄνδρα εὐσεβέστατόν τε ὁμοῦ καὶ σοφώτατον, ἐκστρατείαν κατὰ τῶν τὸ Μελενίκου φρούριον κατεχόντων πολεμίων ποιούμενον· ἀφικόμενον δ' ἐπὶ τὸ τῶν φερωνύμων τῶνδε μαρτύρων θεῖον τέμενος καταφυγεῖν, ἐφ' ᾧ τὴν μαρτυρικὴν | ῥοπὴν καὶ ἐπικουρίαν ἐν τοῖς δεινοῖς ἐπισπάσασθαι καὶ f 126 v τὸ φρούριον ἀβλαβῶς ἀπολαβεῖν. ταῦτα δ' ἀντιβολήσαντα τὼ μάρτυρε πρὸς τὸ προκείμενον ἐπεξιέναι ἔργον. περὶ δέ που τὰ μέσα τῆς ὁδοῦ φανῆναί οἱ σαφῶς ἄνδρε δύο, νέω καὶ ἀγαθὼ τὰς ὄψεις, ὑπερφυεῖ τὸ μέγεθος καὶ τὴν ἡλικίαν ἀμηχάνως σεμνώ. τῷ τοίνυν παραδόξῳ καὶ χαρίεντι τοῦ θαύματος καταπλαγέντα τὸν βασιλέα ἐπιστραφῆναι πρός τινα τῶν παριόντων ἐν τέλει καί οἱ εἰπεῖν· οὐχ ὁρᾷς τὸ καινὸν καὶ ἥδιστον ἡμῖν ἔγγιστα θέαμα; καὶ πρὶν ταῦτα τὸν βασιλέα εἰπεῖν, ἀφανίσαι τὼ μάρτυρε λόγος ἑαυτούς. ὅθεν τούτου μὴ καθορᾶν ὅπερ ἔφη βασιλεὺς θέαμα φαμένου φάναι παραχρῆμα τὸν βασιλέα εἰδέναι τὸ γεγονὸς καὶ τοῖν στεφανίταιν εὔξασθαι καὶ τὴν ἐκείνων ἐπικουρίαν ἐπικαλέσασθαι καὶ ἡσθῆναι τῷ γεγονότι, ὡς ἀγαθῷ τοῦ μέλλοντος οἰωνῷ καὶ δεξιῷ προοιμίῳ, καὶ τοῦ Μελενίκου εὐθὺ θαρρούντως ἀπιέναι. ἐκεῖσε δὲ γενομένῳ τῷ βασιλεῖ — ἀλλ' ἐνταῦθα τοῦ

12 σολομόντειον

λόγου γενόμενος τὴν ὑμετέραν περὶ λόγους ἂν ἐπικαλεσαίμην, ἀθλητὰ σοφώ, δύναμιν (ὑμεῖς γὰρ οὐ τῇ κατὰ πόλεμον ἐμπειρίᾳ κράτιστοι μόνον, ἀλλὰ καὶ ἐν λόγοις ἦτε δεινώ), ὥστε τὸ κάλλιστον παντὸς ἄλλου θεάματος καὶ ἀκούσματος διηγήσασθαι καὶ τερπνότατον — ἐκεῖσε δὴ γενομένῳ περὶ τὸ φρούριον τῷ βασιλεῖ ἀρχῆς συμβολῆς γενομένης ἐφανήτην ἐν παρατάξει τὼ τοῦ μεγάλου βασιλέως στρατιώτα καὶ τροπαιούχω, ἵλεῳ ὄμματι οἵῳ τὸ πρότερον, ὧν τῇ θέᾳ καὶ παρουσίᾳ βασιλεὺς καὶ ὅσοι περὶ αὐτὸν ἑώρων τὸ θαῦμα, ἐγεγήθησαν, ὡς ταὐ- f 127r τὸν ὂν ἐκείνω | τε ἰδεῖν ἵλεῳ ὄμματι καὶ νίκην ἐφομαρτῆσαι. ὃ δὴ καὶ κατ' ἐλπίδα γέγονεν. μετὰ μικρὸν γὰρ ὅσον οἱ τῶν τειχῶν ἐκτὸς αἴφνης τραπόμενοι πολέμιοι ᾤχοντο φεύγοντες τὴν ἐκείνων ὥσπερ παρουσίαν οὐκ ἐνεγκόντες. ὅθεν τὸ Ῥωμαϊκὸν στράτευμα διῶκον οὐ πρότερον ἐπαύσατο, πρὶν τὸ πολέμων αἴτιον παρειληφέναι φρούριον καὶ τὸν ἄνακτα λαμπρῶς ἐπὶ τειχῶν ὡς ἔθος ἀναγορευθῆναι. ἐπανήκων τοίνυν ἐπὶ Φερρὰς ἐπὶ τὸ μαρτυρικὸν εἰσήει τέμενος, τοὺς ἱεροὺς τύπους προσκυνήσων τῶν ἀθλητῶν καὶ ἐπινίκια πανστρατιᾷ ἑορτάσων. ὁπηνίκα δὴ χρυσὸν καὶ ἄργυρον ἱκανὸν χρυσοχόοις προστετάχει δοῦναι, ἐφ' ᾧ τὰς ἱερὰς εἰκόνας τούτοιν κατακοσμῆσαι, ᾀσματικόν τε ἐπὶ τοῖν στεφανίταιν γράψαι κανόνα τῶν τινα λογίων τῶν αὐτοῦ ὀπαδῶν, ἐπιστημονικώτατον καὶ περιττὸν τὰ τοιαῦτα, ἐπιτέτραφεν. ἃ δὴ κατὰ τοὐπίταγμα τὸ βασιλέως γέγονε.

τοῦτο μὲν οὖν, ὡς ξυνίετε, πάνυ σεμνὸν καὶ ὑπέρλαμπρον οἷον ἀρκεῖν καὶ μόνον εἰς εὐφημίαν καὶ τῆς τῶν μαρτύρων μείζονος τῶν ὁρωμένων δυνάμεως ἔνδειξιν, ἐπ' αὐτὸ δὲ τοὐνθ' ἡμῖν ἰτέον, δι' οὗ πόλεως ὅλης εὐεργέτα καὶ προστάτα δειχθήσονται.

ἐξ ἑῴας πάλαι κατήει τὸ Περσικὸν στράτευμα πασσυδὶ πρὸς τὰ καθ' ἡμᾶς μέρη τῆς ἑσπερίου λήξεως, τῷ Λατίνων ἔθνει σύμμικτον γεγονός. οἵω δ' ἄμφω τὼ γένη ἐστόν, πάντες ἴστε καὶ διηγεῖσθε, καὶ διηγήσει καὶ χρόνῳ καὶ πείρᾳ κατειληφότες· τοσαῦτα κατὰ Ῥωμαίων ἀπειλοῦντες, ὡς μηδὲν εἶναι ἃ Ξέρξης, ὁ παράφρων ἐκεῖνος καὶ καινοτόμος καὶ τοσαῦτα νεανιευσάμενος, ἃ μηδ' ἂν τῷ ποτε ἐνθυμηθῆναι συνέβη, f 127v δρᾶν Ἀθηναίους ἤμελλεν. οὗτοι πολλῷ | θράσει ῥέοντες καὶ μεγάλα καὶ ὑπέρογκα βρέμοντες ἧκον καὶ Φερρὰς ἐκπολιορκήσοντες· ἑκασταχῇ δ' ἐν κύκλῳ τὴν πόλιν περιδραμόντες καὶ Ἰλιάδα κακῶν τὰ πέριξ ἀπεργασάμενοι πολεμοῦντες ἐπολιόρκουν ἐς ὕστερον. καὶ ταῦτα μὲν ἐκεῖνοι, οἱ πικροὶ πολέμιοι καὶ διῶκται καὶ τῆς ἀσεβείας ὑπέρμαχοι. τοῖν δὲ θερμοῖν

33 ἐκπολιορκήσαντες

προστάταιν τῶν θερμῶς αὐτοὺς ἐπικαλουμένων καὶ δι' αὐτῶν τὸν θεῖον ἐπισπωμένων ἔλεον μέλλησις οὐκ ἐνῆν τοῦ προΐστασθαι καὶ κινδύνων τὸ καλὸν τῆς ἐκκλησίας πλήρωμα ῥύεσθαι. ἀλλ' ἀωρὶ τῶν νυκτῶν ὄναρ ἐπιστάντε τῷ Λατίνων στρατάρχῃ, ἵππων εὐφυεστάτων ἐπιβαίνοντε, ὥς γε ἐκείνῳ ἐῴκει, ἐπισκήπτουσιν ὅτι τάχιστα φυγῇ χρήσεσθαι σὺν στρατεύμασιν, εἴγε τὰ ξυμφέροντα βούλοιτο ἑαυτῷ. ἐν ᾗ δὴ νυκτὶ καί τις ἔνδον κείμενος τοῦ ναοῦ ψόφων ἐκ ποδῶν ἵππων ἐξιόντων καὶ πάλιν εἰσιόντων καὶ ὅπλων ᾔσθετο κρότων. ἕωθεν οὖν ἀναστάντα κελεῦσαι Ναζιραῖον τούτοις αἰχμάλωτόν τινα ἐκεῖ που περιφρουρούμενον ἔμπροσθεν ἀγαγεῖν· καὶ τὸν εἰσιόντα καὶ πρὸς τοῦ Λατίνων δεσπόζοντος ἐρωτηθέντα, τίνας ἂν τῶν ἁγίων ἡ παρακειμένη πόλις προστάτας ἔχοι, τὼ θείω μάρτυρε Θεοδώρω φάναι, πολιούχω καὶ σωτηρίας ποριστά, πλουτεῖν. τούτων ἀκούσας τῶν λόγων ὁ τοῦ Λατινικοῦ κατάρχων στρατεύματος ἐκεῖνον μὲν ἐλευθεροῦν κελεύει, αὐτὸς δὲ παραχρῆμα σὺν τῷ Περσικῷ στρατεύματι ᾤχετο ἀπιών, ἡ δὲ πόλις τούτου τοῦ κατὰ γῆν κλύδωνος ἀπαλλαγεῖσα θεῷ καὶ τοῖν θερμοῖν προμάχοιν νικητηρίους καὶ χαριστηρίους ἀνέπεμπεν ὕμνους.

τοῦτο μὲν οὖν ὅσον καὶ οἷον καὶ ὅπως οὐ δύο ἢ τριῶν ἢ μέχρι τῶν δέκα προστάτα τὼ μάρτυρε δείκνυσιν, | [f 128r] ἀλλὰ πόλεως ὅλης καὶ μυριάδων σωτῆρε καὶ εὐεργέτα, οὐδὲ βραχέος γοῦν πρὸς διδασκαλίαν ὅσοι τῷ λόγῳ συνέσεσθε δεήσεσθαι οἴομαι. ἵνα δὲ τἄλλα παραλίπω — τὸ περὶ τοὺς πένητας αὐτοῖν συμπαθὲς καὶ πλούτου ποριστικόν, τὸ περὶ τοῖς ἐν κινδύνοις καὶ κλύδωσιν κυβερνητικόν, τὴν περὶ τοὺς ζημιουμένους ἀνάκτησιν, τὸ περὶ τοὺς παῖδας διαδιδράσκοντας φυγῆς ἀποτρεπτικόν, τὰς πρὸς στρατιώτας ἐφ' ᾧ μὴ ἁρπάζειν παιδείας καὶ ἕτερ' ἄττα, οἷς ὑμνεῖται θεὸς δι' αὐτῶν, ἃ διὰ τὴν ἀμετρίαν ἑκὼν παρίημι —, τῷ ἐσχάτῳ τοῖς χρόνοις καὶ τελευταίῳ, τῇτες ἔτι θαυματουργηθέντι καὶ ὃ μηδὲ βουλομένῳ παραλιπεῖν οἷόν τε, συντελευτήσω τὸν λόγον.

ἑορτὴν ἤγομεν δημοτελῆ Μαιμακτηριῶνος ὀγδόῃ ἱσταμένου ἐπὶ μνήμαις ἑσπέρας τοῦ Στρατηλάτου εἴσω τοῦ μαρτυρικοῦ καὶ θείου τούτων νεώ· εἰς ὃν πλήθους πολλοῦ τηνικαῦτα ξυνερρυηκότος, ἀπολαυσόντων οἶμαι τοῦ μυστηρίου, καί τι γύναιον εὐσεβὲς συνεισῄει. τὸν δ' ἑσπερινὸν ὕμνον εἰς τέλος ἀκροασαμένη καὶ ψυχῇ τῶν ὠφελίμων θησαυρίσασα, σίτους ἑφθοὺς ὡς σύνηθες ἀραμένη, ἃ κόλυβα πρὸς θατέρου τοῖν στεφανίταιν ἐκδιδαχθέντες καλεῖν πάντες εἰώθασιν,

6 χρ' εἴ γε τῶν αὐτῷ ξυμφερόντων μέλει in marg 16 τοῦ pro τούτου 17 ἀνέπεμπον 34 ὀφελίμων

ὡς οἶκον οἶμαι καὶ τοὺς ἐν οἴκῳ τούτοις καθαγιάσουσα, εὐθὺ τῶν δόμων ἐχώρει. ὡς δ' ἐπανῆκεν ἐς τὴν οἰκίαν καὶ τὸν ὁμευνέτην ἀποσχολάζοντα καὶ προσηλωμένον ἔτι τῇ τέχνῃ, ἢ μᾶλλον οἰκειότερον εἰπεῖν, γῇ καὶ γηίνοις φρονήμασιν εὕρατο, δέον σχολὴν ἀπὸ πάντων τῶν ἄλλων ἄγειν, ἄνωθεν γεγονότα καὶ πρὸς τὰ ἄνω καλούμενον, ὡς εἰκὸς τοῦτον σκώψασα συνετῶς | f 128v καὶ τὴν ἀβελτηρίαν καὶ ἀμαθίαν κατηγορήσασα, τέλος τοῖς ἱεροῖς κολύβοις τοῦτον ἐδεξιοῦτο, γεῦσαι, λέγουσα, καὶ τυχὸν ἁγνισθεὶς διαγράψεις τὸ ἔγκλημα· ὁ δ' ἀντὶ τῶν λόγων ἄσμενος ἀκοῦσαι τῆς γυναικὸς καὶ καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην, ᾗ φησιν ὁ θεῖος Δαυίδ, κτήσασθαι, τἀναντία μᾶλλον ἢ προσῆκε δρᾶν εἵλετο. ὕβρεσι καὶ γὰρ καὶ προπηλακισμοῖς ἀμείβεται καὶ λίαν αἰσχρῶς τὴν ὁμευνέτιν, οὔτε τούτων ἁψάμενος ὁ παράφρων καὶ βλασφημήσας πρὸς αἴσχιστα εἰς αὐτὼ τὼ μάρτυρε καὶ δι' αὐτῶν εἰς θεόν. νυκτὸς δ' ἐπὶ κλίνης κατακλιθείς, βραχέα τῶν νυκτερινῶν ὕπνων φροντίσας, ἔτι τῆς αὐτῆς ἀπονοίας καὶ ἀβελτηρίας ἐχόμενος, ἤδη περὶ πρώτας ὀρνίθων ᾠδὰς ἄνδρε δύο, οὐκ ὄναρ, ἀλλ' ὕπαρ, φοβερὼ τὴν ὄψιν, ὑπερφυεῖ τῷ μεγέθει — Θεοδώρω δήπου τὼ φανέντε ἤστην —, εἶδεν ἐφεστηκότε. οἳν τἀπίχειρά οἱ τῆς κακίας ἀποδιδόντοιν καὶ δεινῶς αἰκιζομένοιν, ἵνα τοῦ πτώματος πάντως ἐνθάδε ἀποκαθάρωσι, δὶς καὶ τρὶς ἱκεσίους φωνὰς φωνῆσαι, πρὸς ἡμᾶς ὁ παθὼν διηγεῖτο· τὸ δ' ἐντεῦθεν αὐτὸς μὲν ἀναισθησίᾳ καὶ ἀγνοίᾳ τῶν γιγνομένων κατειλημμένος ἦν, οἱ δ' ἐκ τῶν βιαίων φωνῶν εἰσδραμόντες καὶ εἰσπηδήσαντες τὴν οἰκίαν τὰ ἑξῆς ἡμῖν διηγήσαντο, ὅπως τε τοῦ στόματος καὶ τῶν μυκτήρων αἷμα κατέρρει καὶ ὡς τῇδε κἀκεῖσε ἐκυλινδεῖτο καὶ ἐφέρετο καὶ πικρῶς καὶ πυκνῶς ἤσθμαινεν. ἄλλο δὲ οὐδὲν οὔθ' ἑώρων, οὔθ' ἡμῖν εἶχον φράσαι. μικρὸν δὲ πρὸ δείλης μεσημβρίας ἀνενεγκὼν ὁ δυστυχὴς ἐκεῖνος ἐπὶ τὸ θεῖον ἀφίκετο τῶν φερωνύμων τέμενος, τὴν ἀκήρατον καὶ εὐδαίμονα καὶ ἀοίδιμον τοῦ θείου Στρατηλάτου | f 129r κεφαλὴν τρόμῳ καὶ χαρᾷ προσκυνήσων — κεφαλὴν ταύτην, τὸ μέγα θαῦμα τῆς οἰκουμένης, τὴν τῶν θαυμάτων πηγὴν ἀκένωτον, τὴν τῶν ψυχῶν ὁμοῦ καὶ σωμάτων εὐεξίαν, ἣν πλουτοῦσι Φερραὶ καὶ τῶν ταύτης ἀγαθῶν πρώτως καταπολαύουσι καὶ ᾗγ' ἀντὶ παντὸς ἄλλου διηγήματος καὶ θεάματος, ἃ πολλὰ πολλαχόθεν ἔχουσι, μᾶλλον ἀγάλλονται — καὶ ταπεινώσει καὶ συνοχῇ καρδίας θεὸν καὶ τὼ μάρτυρε καθικετεύσων, συγγνώμην τῶν βλασφημιῶν δοθῆναί οἱ καὶ τῶν πεπλημμελημένων ἀπαλλαγήν. ὁπηνίκα καὶ ἡμῖν ἀπήγγειλεν, ὅσα γε ᾔδει

3 οἰκειώτερον 10 cf Ps. XXXIV 18 19 πώματος 26 μεσηβρίας 28 ἀοίδημον 35 βλασβημιῶν

— καὶ πιστευτέος ἦν —, ἱμάτια μὲν αἵμασιν ὑπέρυθρος, μέλας δὲ σάρκα ταῖς μάστιξιν ὤν, ὃ φιλεῖ γίγνεσθαι σηπομένου διὰ τὴν τύψιν τοῦ αἵματος.

οὕτω τὼ μεγάλω τῆς ἀληθείας ἀγωνιστὰ καὶ λαμπτῆρε τῆς οἰκουμένης περιφανεῖ, παρ' οὗ τῆς δόξης οὐρανὸς καὶ γῆ πλήρη καὶ πᾶν ὑπερκόσμιον ἀντιδοξάζονται, τοῦτον ἐν τοῖς μέλεσι δοξάσαντε καὶ τὰ μέλη τοῦ Χριστοῦ ἐκείνῳ μόνῳ τηρήσαντε, ᾗ φησιν ὁ μακάριος Παῦλος· καὶ οὕτως ἔργον αὐτοῖς ἐκπαιδεύειν καὶ ῥυθμίζειν αἰεὶ τἀνθρώπειον ἐπὶ τὰ βελτίω γένος ἀμφοτέρωθεν, ὡς ἂν ὁ καιρὸς καὶ ἡ χρεία διδῷ, τοῖς θ' ἤθεσι καὶ τοῖς ἀνιαροῖς.

ἐμοὶ δὲ τόνδε τὸν λόγον ὑμῖν ἀντὶ πάντων ὧν ἔχω δωροφοροῦντι, χριστομάρτυρε, τῶν ἐμῶν ἀπαρχὰς λόγων τὸ μέγιστον ἀντιδοίητε. τὸ ψυχῆς ὁμοῦ καὶ σώματος προστατεῖν καὶ πρὸς τὰ κρείττω ταῖς κατὰ μικρὸν ἐπιδόσεσι μεταβιβάζειν τῷ πρὸς τὰς ἀρχὰς τοῦ σκότους καὶ ἐξουσίας ἀνδρικῶς καὶ μετὰ γενναίου λήματος παρατάττεσθαι παρασκευάζειν. καὶ γένοιτο συγγενικαῖς χερσί — τοῦτο δὲ | λέγω οὐ τοσοῦτον πρὸς τὴν τῆς σαρκὸς ἀφορῶν ἀγχιστείαν, f 129v ὅσον πρὸς τὴν τῶν ψυχῶν συμφυΐαν τε καὶ συνάφειαν, ᾗ δὴ συγγενείᾳ τοσοῦτον ἰσχύος περίεστιν, ὡς καὶ τὰ πόρρω τοῖς τοπικοῖς διαστήμασι καὶ οἱονεὶ ἐκ διαμέτρου εὐφυῶς καὶ μάλα συνάπτειν, ὥς καί τις ἔφη που τῶν παλαιῶν ἐπὶ σοφίᾳ περιφανής, ἐν οἷς οὑτωσί πως λέγει· καὶ γένοιτ' ἂν οὕτω συγγενεῖς εἶναι Λίβυν ἄνδρα καὶ Παρθιαῖον —, γένοιτο τοίνυν συγγενικαῖς, ὅπερ ἔφην, χερσὶν ἐς ἀεὶ τὴν ὑμετέραν πόλιν ἀβλαβῆ διασώζεσθαι, τὰς Φερράς φημι, εἰς δόξαν τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν, τοῦ ἐν τριάδι γνωριζομένου, ᾧ πᾶσα δόξα πρέπει, νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν· +

ΤΟΥ ΑΥΤΟΥ
ΕΓΚΩΜΙΟΝ
ΕΙΣ ΤΟΝ ΗΛΙΟΝ

Πολλοῖς μὲν οὖν ἄν τις ἑτέροις κτήμασιν, σχεδὸν δὲ καὶ πᾶσιν, ἀγάσαιτο καὶ κατανοήσειε τὴν τοῦ θεοῦ μεγαλουργίαν καὶ τῆς περὶ ταῦτα σοφίας αὐτοῦ τὸ ἄπειρον καὶ ἀνέκφραστον, διαφερόντως δὲ

13 τὸν pro τὰ 31 ἀγάγαιτο

καὶ τῷ νῦν προκειμένῳ εἰς ἐγκωμίων ὑπόθεσιν, λέγω δὴ τῷ περικαλλεῖ τῷδε καὶ παμμεγέθει φωστῆρι, τῷ τὴν γῆν σχεδὸν μεγέθους ἀπείρως ἔχουσαν ἅπασαν οὕτως καταφωτίζοντι ὡς ἐλάχιστόν τι σωμάτων ἁπάντων, καὶ μηδὲ τοὐλάχιστον αὐτῆς μέρος ἀφώτιστον ἀφιέντι μένειν, ἀλλὰ καθάπαξ πάσῃ τοῦ αὐτοῦ φωτὸς μεταδιδόντι.

οὐρανοὺς μὲν οὖν διηγεῖσθαί φησιν ὁ προφήτης δόξαν θεοῦ οὐκ ἄλλοθέν ποθεν· οὐδὲ γὰρ φωνὴν ἀφιᾶσι τὸν ἑαυτῶν δημιουργὸν f 130ʳ | *ἀνυμνοῦντες, ἀλλ' ἢ ἐκ τοῦ κάλλους τε καὶ μεγέθους αὐτῶν. τοῦτο δὲ καὶ τῷ ἡλίῳ προσαρμόζειν ἔνι καὶ φάσκειν παρεμφαίνειν καὶ τοῦτον τὴν τοῦ ἰδίου δημιουργοῦ μεγαλειότητα. ἔνεστι γὰρ καὶ αὐτῷ μέγεθός τε καὶ κάλλος ἀμήχανον ὅσον· δηλοῖ δ' ὁ αὐτὸς προφήτης, ὅσον μέτεστιν αὐτῷ τούτων· οἷά τις γὰρ μάλα φαιδρός φησι νυμφίος — τοῦτο περὶ τούτου φάσκων — ἐξ ἰδίου θαλάμου τῆς ἑῴας ἄνεισι καὶ πάντα τῷ τε μεγέθει καὶ τῇ τοῦ τάχους ὀξύτητι περιπολεύει τὸν οὐρανὸν καὶ πᾶσι τοῦ ἑαυτοῦ φωτὸς ἀπολαύειν παρέχει καὶ τῆς ἰδίας θέρμης τὴν δύναμιν αἰσθάνεσθαι, καὶ οὐκ ἔστι πάντῃ τῶν ἁπάντων οὐδέν, ὃ μὴ τῆς αὐτοῦ ἰδιότητος ἀπολελαυκός ἐστιν.*

οὗτος τοίνυν τὸν ζῳδιακὸν δύων καὶ μήτ' ἐλαχίστην τινὰ καὶ ταπεινὴν χώραν ἐν τῇ κατὰ κύκλον ἔχων πορείᾳ, ὥς τινες τῶν πλανήτων, μήτ' αὖ ὑψηλοτάτην καὶ λίαν ἐπηρμένην, ἀλλὰ μεσαιτάτην τούτων καὶ καθ' ἣν μὲν συμπεριφέρεται τῷ οὐρανῷ τὰς ἡμέρας καὶ τὰς ταύταις ἀντιθέτους νύκτας ἀποπληρῶν, τῇδ' αὖ ἰδίᾳ, λέγω τῇ προαιρετικῇ, τὰς τέσσαρας ὥρας, ἐξ ὧν ἅπας ἐνιαυτὸς συμπληροῦται καὶ ἀπαρτίζεται, τοῖς πλανήταις τῶν ἀστέρων διὰ ταῦτα ἐγκαταλέγεται. κάλλει δὲ καὶ μεγέθει πάντων τῶν ἐν οὐρανῷ παντάπασι διαφέρει. κάλλους μὲν οὖν ὅσον μέτεστιν αὐτῷ καὶ ὅπως ὑπεραίρει πάντας, ἥ τ' αἴσθησις μαρτυρεῖ καὶ ἐξ ὧν εἴρηται δῆλον· μέγεθος δ' ὅσον αὐτῷ, ἡνίκα τὸν περὶ τούτου ποιησόμεθα λόγον, ἀποδειχθήσεται.

οὐ τούτοις δὲ μόνον ἰδεῖν ἐστιν αὐτοῦ τὸ ὑπερβάλλον, ἀλλὰ καὶ f 130ᵛ *πολλοῖς ἑτέροις· | καὶ γὰρ καὶ ταῖς ὄψεσιν τὴν ὁρατικὴν αὐτῶν δύναμιν οὗτος, οὐκ ἄλλος χορηγεῖ, τῷ ἑαυτοῦ φωτὶ ἐνεργεῖν ταύταις παρέχων· ἐκ δὲ τούτου κατιδεῖν ἔστι τὸ τοιοῦτον. ἐπειδὰν γὰρ ἡμῶν ἀποστῇ καὶ τὸ ἐφ' ἡμῖν ἡμισφαίριον τοῦ οὐρανοῦ προεκδραμὼν τὸ ὑπὸ γῆν διεξέρχηται καὶ κατάσκιον ποιήσῃ τὴν γῆν, εὐθὺς ἡ ὀπτικὴ δύναμις ἡμῶν ἀμωσγέπως ἐπέχεται καὶ τοῖς τὰς ὄψεις ἐκκεκομμένοις σχεδὸν ταὐτὸ πάσχομεν, τοῦ σκότους τε καὶ τοῦ ζόφου τὸ*

3 *καταφοτίζοντι* 6 Psalm. XIX 1 11 Psalm. XIX 5 32 *παρέχων,* in marg *γρ' χαριζόμενος* 35 *ἐκκεκομένοις*

ὁρατικὸν ἡμῶν τὸν ἀέρα διαθεῖν κωλύοντος καὶ ὁρᾶν, ᾧ προσβάλλειν ἂν βούλοιτο. εἰ δὲ δὴ τοῦτο, τῶν ἀναγκαίων ἂν εἴη δήπουθεν παρεῖναί τε καὶ ἐπιδημεῖν ἡμῖν τὸν σεμνὸν τουτονὶ καὶ μεγαλοπρεπῆ φωστῆρα· τοσοῦτον γὰρ ἡμῖν καὶ πᾶσι τὸ χρειῶδες αὐτοῦ, ὡς εἴπερ ἐκλιπεῖν καὶ ἀπολωλέναι καθάπαξ συνέβη τοῦτον, ἅπαντα τἀπὶ τῆς γῆς ἂν ἔρρει καὶ οὐδὲν ἂν ἦν ὃ μὴ φθορὰν ὑπέστη, ἀλλὰ πάντες μὲν ἄνθρωποι τῶν ἀναγκαίων στερόμενοι, πᾶν δὲ γένος ζώων, πάντα δὲ ξύλα καρποφόρα, πρὸς δὲ τούτοις φυτά. εἰ γὰρ μικρὸν ἀφ' ἡμῶν ἐκκλίνοντος καὶ τὸν χειμερινὸν τροπικὸν διεξιόντος πάνθ' ἡμῖν τὰ δεινὰ ἐπέρχεται· παγετοὶ σφοδροί, ὄμβροι συνεχεῖς, ἐξ ὧν χειμάρροι γῆν ἐπικλύζοντες, ἄνεμοι παντοῖοι, οἳ γῆν μὲν ξηραίνεσθαι, θάλασσαν δὲ κυμαίνεσθαι καὶ πρὸς ὕψος αἴρεσθαι ποιοῦσι καὶ πλωτῆρσιν ἀνεπιτήδειον, ἀλλεπάλληλοι νιφετοί, ἀχλύς τε καὶ ζόφος καὶ ἀηδία πᾶσα — πῶς ἂν ἐμέλλομεν ἕξειν, ὅπου γε πρὸς μικρὸν ἀποχωροῦντος τοσαῦτα πάσχομεν δεινά, καθάπαξ ἐκλελοιπότος; καὶ ταῦτα μὲν ἡμῖν ἀφεστηκότος ἡλίου. τὸν δὲ χειμερινὸν τροπικὸν παρεκθέοντος καὶ τῷ ἰσημερινῷ προσπελάζοντος καὶ πλησιέστερον ἡμῶν γενομένου πάνθ' ἡμῖν τἀναντία τοῖς προτέροις ἐπι- f 131r
γίνεται· καὶ οὐρανὸς μὲν πλέον ἢ πρότερον τὸν πάντων δημιουργὸν δοξάζει πάσης ἀχλύος τε καὶ σκότους χειμερίου ἀπαλλαγεὶς καὶ τοῖς τῶν ἄστρων χοροῖς νύκτωρ καταποικίλλεται καὶ νύκτα καὶ μεθ' ἡμέραν ἡδίστην ἑαυτὸν θέαν τοῖς θεωμένοις παρέχει, μεθ' ἡμέραν μὲν διαφανεῖ τῷ ἡλίῳ σεμνυνόμενος, νυκτὸς δὲ τοῖς διαυγέσι τῶν ἀστέρων λαμπρὸς ἀναδεικνύμενος. καὶ θάλασσα μὲν ἀντὶ τοῦ κυμαίνειν καὶ κορυφοῦσθαι γαλήνην ἄγει καὶ λιμένας εὐδίους ἐργάζεται πρὸς ὑποδοχὴν τῶν πλεόντων, τῶν ἀνέμων διὰ τὴν πρὸς ἡμᾶς ἐπιδημίαν τοῦ φωστῆρος μηκέτι τὸ σφοδρῶς, ἀλλ' ἡδύ τι καὶ ἡσύχιον πνεῖν κεκτημένων. γῆ δ' ἀντὶ ξηρᾶς καὶ σκληρᾶς χλοάζει καὶ γάνυται καὶ τὰ πάλαι καταβεβλημένα τῶν σπερμάτων ἀναφύεσθαι καὶ θάλλειν παρασκευάζει τῆς τοῦ ἡλίου θέρμης αὐτὴν διούσης· καὶ φυτῶνες τοῖς σφῶν αὐτῶν ἄνθεσιν ὡραΐζονται παντοίᾳ συλλογῇ φυτῶν, ἰωνιαῖς, κρινωνιαῖς καὶ παντοδαποῖς ἑτέροις πλήθεσιν ἀνθέων εὐωδοῦντες· αἰσθάνονταί τι καὶ δένδρα τῆς τοῦ ἡλίου καλλονῆς καὶ θέρμης καὶ ἅμα τῇ παρουσίᾳ κομῶσι καὶ πᾶσι καρπὸν ἐπαγγέλλονται δώσειν καὶ χειμάρροι καταπαύονται τὸ συνεχὲς καὶ λάβρον τῶν ὑετῶν οὐκέτι προσκτώμενοι. ἴδοις καὶ πηγὰς τὸ τεθολωμένον ἅπαν ἀποβαλούσας καὶ διειδὲς προχεούσας τὸ νᾶμα. καὶ τί δεῖ πολλὰ λέγειν; πάντα τῇ τοῦ φωστῆ-

---

2 βούλοιτο, in marg γρ' αἱροῖτο 5 ἀπολωλεκέναι 7 στερρόμενοι 9 ἐκλίνοντος 11 ξηρένεσθαι 12 ἀλλεπάλληλοι 27 γάννυται

f 131v ρος ἐπιδημίᾳ θάλλουσι καὶ οἱονεὶ τέρπονται καὶ τὰ σφῶν αὐτῶν ἀπολαμβάνειν ἄρχονται ἀγαθά.

καὶ ταῦτα μὲν ἡμῖν ἴσας ταῖς νυξὶ τὰς ἡμέρας τοῦ φωστῆρος ποιοῦντος· τῷ δὲ θερινῷ τροπικῷ προσεγγίζοντος καὶ θερινὰς τροπὰς ἐργαζομένου καὶ τελέως ἡμῖν ἐπιδημοῦντος καλλίω τῶν προτέρων τάγε ὕστερον καθεστήκασιν καὶ ταῖς ἐπαγγελίαις οὐκέτι καθάπερ τὸ πρότερον, αὐτοῖς δὲ τοῖς καρποῖς ἤδη παροῦσιν εὐφραίνει τὰ καρπῶν ἔχοντα τῶν φυτῶν καὶ γεωργὸς ἀνὴρ οὐκέτ' ἐπ' ἐλπίσι τὴν εὐφροσύνην ἄγει, ἀλλ' ἤδη τοῖς ληίοις ὡς θησαυροῖς ἐπευφραίνεται. κοσμοῦνται καὶ ἄμπελοι ὥσπερ ἣν πάλαι Θεόκριτος ἐποίησεν, πεπείροις καὶ ὡραίοις τοῖς βότρυσιν.

ἀλλὰ τί ἂν ἔτι μακρηγοροίην; οὐδὲ γάρ, εἴ μοι δέκα μὲν γλῶσσαι καθ' Ὅμηρον εἰπεῖν, πρὸς δὲ τούτοις καὶ τοσάδε στόματα, ἔτι τε φωνὴ Στεντόρειος ἐνῆν καὶ στερροτάτη ψυχή, ἐξήρκεσα ἄν μοι δοκῶ κατειπεῖν καὶ τοῦ σεμνοῦ τοῦδε καὶ περιφανοῦς φωστῆρος πρός γε ἡμᾶς καὶ πάντα τὰ ὑπ' αὐτὸν ὠφέλειαν, ὥσπερ οὐδ' ἐκεῖνος ἅπασαν τὴν πληθὺν καὶ στράτευμα τῶν Ἀχαιῶν· φέρε δὴ τοῦ λοιποῦ τὸν ἀστέρα τοῖς ἀστράσι καὶ τούτων αὐτῶν τοῖς περιφανεστέροις τε καὶ εὐμεγέθεσι παραβάλλοντες ἐξετάσωμεν, ὅσον αὐτῷ τὸ ὑπερβάλλον πρὸς ἅπαντας ἔκ τε τοῦ κάλλους τε καὶ μεγέθους. βούλεσθε δὴ παρεξετάσαι τοῦτον τῷ δοκοῦντι μεγίστῳ τῶν ἄλλων εἶναι, λέγω δὴ τῇ σελήνῃ κἀκ ταύτης δεῖξαι καὶ τῶν ἄλλων πολλαπλασίως διαφέροντα; τοῦτο δὴ καὶ ποιήσομεν.

τῷ μὲν οὖν κάλλει καὶ τί χρή με λέγειν ὅσα φέρεται κατ' αὐτῆς τὰ πρωτεῖα; ὅσῳ γὰρ αὕτη τοῦ λυχνιαίου φωτὸς διαφέρει, τοσούτῳ καὶ τῆς τοῦδε | f 132r λαμπηδόνος ἐμοὶ δοκεῖν ἀπολείπεται. τὸ μὲν οὖν κάλλος αὐτῷ τοιοῦτον καὶ οὕτως ὑπέρλαμπρον· μέγεθος δ' αὐτῷ τοῦ ταύτης πολλῷ πολλαπλάσιον, τρισκαιδεκαπλάσιον γάρ, ὥσπερ τοῖς πλείοσι δήπουθεν τῶν φιλοσόφων εὖ μάλα καὶ ἀποδεικτικώτατα ἀποδέδεικται. οὐ μὴν ἀλλὰ καὶ σελήνη τὸ φῶς, ᾧ νυκτὸς φαίνει, οὐκ ἄλλοθεν ἤπερ ἐκ τοῦ ἡλίου τοῦτο λαμβάνει· ὥσθ' ὅπερ ἂν ὑπὲρ ταύτης καὶ τοῦ ταύτης φωτὸς φήσειας, ἐπαινῶν τὸν ἥλιον εἴποις ἄν. εἰ δ' ἡ σελήνη μὲν τοῦ ἡλιακοῦ φωτὸς μεταλαμβάνει, φωτίζει δέ γε νυκτός, ἔξεστι φάσκειν πάντα φαίνειν τὸν ἥλιον, πάντ' ἤματα καὶ νύκτας ἀεί, οὐ μόνον μεθ' ἡμερῶν, ἀλλὰ καὶ νυκτὸς ἀπολαύειν παρέχοντα τοῦ ἰδίου φωτός. εἰ δὲ ταύτης μέν, ἣ μεγίστη πάντων ἔστι τε καὶ δοκεῖ, μείζων

3 μέν bis 10 πεπέροις 13 Hom. B 489 14 Hom. E 785 17 πληθὴν 22 σελίνη

τε καὶ κρείττων ἀπεδείχθη ἔν τε μεγέθει τε καὶ κάλλει, πολλῷ μᾶλλον τοὺς ἄλλους δυοῖν τοῖν αὐτοῖν ὑπερβάλοι, λέγω δὴ φαίνοντάς τε καὶ φαέθοντας καὶ στίλβοντας τοὺς φαιδροτέρους τε καὶ περιφανεστέρους καὶ καθάπαξ ἅπαντας πλάνητάς τε καὶ μή.

κοσμοῦσι μὲν οὖν οὗτοι πάντες τὸν οὐρανὸν καὶ ἄλλος ἄλλοθεν τὸ κάλλος αὐτῷ συνεραυίζουσιν, οὗτος δὲ μόνος εὐπρεπέστερόν τε ἅμα καὶ ὡραιότερον ἀναδείκνυσιν καὶ ὃ πάντες δρᾶν πεφύκασιν, τοῦτο μόνος αὐτὸς ἀπεργάζεται.

καὶ τί δεῖ μοι πλείω λέγειν περί τε τοῦ κάλλους καὶ μεγέθους αὐτῷ διεξιόντι, Πινδάρου μὲν ἀκούοντι λέγοντός τε ἅμα καὶ κελευομένου οὐκ ἄλλον τινὰ τῶν ἁπάντων οὐδένα ζητεῖν ἀστέρα φαιδρότερόν τε ἅμα καὶ φλογωδέστερον, ἢ τόνδε δὴ τὸν φαιδρότατον φωστῆρα, φιλοσόφων δὲ πλεῖστον λόγον | περὶ τοῦ μεγέθους αὐτῷ πεποιηκότων καὶ μὴ μόνον τῶν συνωνύμων τε καὶ ὁμογενῶν ἀστέρων, ἀλλὰ καὶ τῆς γῆς σχεδὸν ἀπειρομεγέθους οὔσης πολλῷ πολλαπλασίονα ἀποφηνάντων; f 132v

ἀλλ' ὦ τριὰς ἁγία καὶ μακαρία, τὸ ἀκραιφνέστατον καὶ πρῶτον καὶ ἀληθινὸν καὶ ἀεὶ μένον φῶς, παρ' οὗ πάντα φῶτα συνέστηκε καὶ φωτίζεται, καὶ τοῦ παντὸς οἰκονόμε καὶ κυβερνῆτις, σὺ μὲν τὸν ἐντὸς καὶ κατὰ τὴν σὴν εἰκόνα καὶ λόγου καὶ νοῦ μετέχοντα ἄνθρωπον συντηροίης καὶ περιέποις ἐλλάμπειν τε καὶ φωτίζειν τῷ σῷ ὑπερλάμπρῳ φωτί, τὸν δὲ σεμνὸν τουτονὶ φωστῆρα, τὸ τῆς σῆς σοφίας καὶ διοικήσεως ἔργον ἄριστον, προτρέποις, εἰς ἐξουσίαν μὲν εἴτουν φρυκτωρίαν καὶ κατασκευὴν καὶ εἰδοποίησιν τῆς ἡμέρας, εἰς δ' ὑπηρεσίαν τοῦ ἐκτὸς καὶ ὑλικοῦ καὶ ῥευστοῦ τουτουὶ σαρκίου καὶ διαμονὴν τοῦ παντὸς καὶ διοίκησιν: +

ΤΟΥ ΑΥΤΟΥ ΠΕΔΙΑΣΙΜΟΥ ΕΙΣ ΤΗΝ ΤΟΥ ΘΕΡΟΥΣ ΩΡΑΝ ΕΓΚΩΜΙΟΝ

Πολλῶν οὐσῶν τῶν ὡρῶν, αἳ ταῖς τοῦ ἡλίου τροπαῖς τὸ εἶναι λαμβάνουσι, τὴν ἀμήτον καλλίστην ἔγωγε ἥγημαι, ὅθεν καὶ περὶ ταύτης εἰπεῖν ὥρμησα. τίς γὰρ βαθὺ κατὰ τὸν ποιητὴν λήιον ἰδὼν εὐθὺς οὐ τοῦ ταύτης ὅλος ἐπαίνου γεγένηται; ἄλλαι μὲν γὰρ ὧραι ἄλλοις

6 *συνερραυίζουσιν* 10 cf Pind. Ol. I 5 12 *φάιδρότερον* 21 *ἐλάμπεις ὑπερλάπρῳ* 23 *φρυκτορίαν*

ἰδιώμασι καλλωπίζονται, ἡ τοῦ ἦρος τῇ εὐκοσμίᾳ καὶ ποικιλίᾳ τῶν ἀνθέων κατέστεπται καὶ τῇ τῶν καρπῶν ἐλπίδι τοὺς ὁρῶντας ἥδεσθαι παρασκευάζει, ἡ μετὰ τὴν τοῦ θέρους τῇ τῶν σπερμάτων καταβολῇ· τῇ δὲ τὸ κάλλιστον ἰδιαίτατον οἱ καρποί, ᾧ καὶ τὰς ἑτέρας ὑπεραίρειν ταύτῃ προσγίνεται. νικᾷ μὲν γὰρ τὸ ἔαρ, ὅτι τούτοις οἶδεν f 133r εὐφραίνειν, ὧν ταῖς | ἐλπίσιν ἐκεῖνο· ὥσθ' ὅσῳ κρεῖττον τῆς ἐλπίδος τὸ ἐλπιζόμενον, τοσούτῳ κἀκεῖνο ταύτης ἔλαττον καθέστηκεν, τὴν δὲ μεθ' ἑαυτήν, ὅτι τὸν κατ' αὐτὴν καταχωννύμενον βραχύτατον κόκκον, ἀστάχυς πολλοὺς καὶ μεγάλους καὶ πολλῷ πολλαπλασίους ἐν ἑαυτοῖς ἐγκρύπτοντας κόκκους, δείκνυσιν. ἐπαινεῖς τοὺς ἐν τῷ ἦρι πολυανθεῖς καὶ εὐόδμους λειμῶνας; πολλῷ μᾶλλον ἐπαίνει τὰ ταύτης βαθεῖα λήια καὶ τοῖς καρποῖς βρίθοντα καὶ τοὺς ἀνθρώπους πείθοντα, ὡς θησαυροῖς τούτοις ἐγκαλλωπίζεσθαι. ἔτι τε κἀκεῖνο, ὅπως ἐπὶ τὰ ἑαυτῶν ἔργα τότε σπεύδουσιν ἄνθρωποι ὥσπερ δεσμῶν τοῦ χειμῶνος λυθέντες, ἀλλὰ πολλῷ πλέον εὐφήμει ταύτην ἐκ τούτου, ἐπεὶ καὶ ἡ ἡμέρα πλείων ἐν ὥρᾳ θέρους τῆς νυκτὸς καθέστηκεν.

ἡδὺ μὲν οὖν ἡ νὺξ παρ' ἐκείνῳ, ὥς τις ἔφη τῶν τραγικῶν, ποικιλείμων οὖσα καὶ τοῖς τῶν ἄστρων παντοίοις εἴδεσι σχημάτων σεμνυνομένη. τοῦτο δὲ μᾶλλον ἐνταῦθα ἂν εὕροις, ὅσῳ καὶ πλέον πάσης ἀχλύος ἀπηλλαγμένος ὁ ἀὴρ φαίνεται καὶ μάλιστα διαυγής. εἰσὶ δέ τινες οἳ καὶ ταῖς πρὸς ἡμᾶς γειτνιάσεσι τοῦ φωστῆρος τὴν εὐδαιμονίαν ἡμῖν ὁρίζουσιν. εἰ δέ γε τοῦτο τοῦ ἀληθοῦς ἔχεται, ὥσπερ οὖν καὶ ἅπτεται, οὐκ ἄλλην δεῖ νομίζειν τὴν τῶν ὡρῶν βασίλισσαν, ἢ ταύτην, καθ' ἣν τοῖς προσαρκτίοις μέρεσιν ὁ φωστὴρ μάλιστα πλησιάζει καὶ βορειότατον ἐγγράφει κύκλον. κάλλιστον μέντοι τὸ ἔαρ δοκεῖ τισι τῇ τοῦ χειμῶνος, ὡς ἡμῖν δοκεῖ, ἀηδίᾳ παραβαλλόμενον, ἀλλ' οὐ τῇ τοῦ θέρους ὥρᾳ, πάντως οὔ· ὅπερ δ' ἐπὶ τῶν κακοῖς τισι συνόντων ἀνθρώπων συμβαίνειν εἴωθεν, ἐκεῖνο μάλα ἡγεῖσθαι καλὸν καὶ ὅτι κάλλιστον, ὃ τὴν μεταβολὴν τῶν κακῶν τούτοις f 133v ἐξεῦρε, κἂν πολλῷ κάλλιον τούτοις ἐπελθὸν τύχῃ, τοῦτο | κἀνταῦθα συμβέβηκεν οἶομαι. τῆς γὰρ τοῦ ἀέρος ἐν ὥρᾳ χειμῶνος ἄκρας ψυχρότητος καὶ τῶν ἑτέρων ὡς κακῶν ἡμῖν ὑπειλημμένων ἡ τοῦ ἦρος ἡμᾶς ἀπαλλάττουσα ἡδίστη τε ἅμα καὶ καλλίστη ἡμῖν δοκεῖ, εἰ καὶ πολλῷ καλλίων ἡ τοῦ θέρους ἡμῖν ἐπέρχεται. μὴ τοίνυν τοῦ λοιποῦ τὴν τοῦ ἦρος καλλίστην ἡγώμεθα, ἀλλ' ἐκείνην, ἣ πάσαις παρεξεταζομένη τὴν νικῶσαν μεθ' ἑαυτῆς φέρει ψῆφον: +

5 γάρ, in marg γρ' οὖν 7 καθέστηκεν, in marg γρ' ἐλλείπεται 10 ἐγκρύπτοντας 12 βαθέα? 16 καθέστηκε 17 Aesch. Prom. 24 36 ἐν ἑαυτῇ, in marg γρ' μεθ' ἑαυτῆς

α΄

ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΠΕΔΙΑΣΙΜΟΥ ΠΡΩΤΕΚΔΙΚΩΙ ΤΩΙ ΚΑΛΟΡΡΙΖΩΙ

f 107v

Ἐβουλόμην μέν σοι καὶ πρότερον, ὦ θαυμάσιε, πεπομφέναι τὸν λόγον· ἵνα δὲ μὴ φορτικὸς εἶναι δόξω καὶ γραφὴν ἀπειροκαλίας φύγω, οὐκ ἐπροθυμούμην σοι τοῦτον πέμψαι. ἔλεγον γὰρ κατ' ἐμαυτόν, ὡς τῷ ὄντι δεινὸν ἂν εἴη, εἴπερ ἐκείνῳ μαθόντι περὶ τοὐμοῦ λόγου καὶ μὴ προθυμουμένῳ τοῦτον αἰτῆσαι αὐτὸς πέμψαι διὰ σπουδῆς θείην. ὡς δ' ὁ Σπηλαιώτης ἥκοι πρός με χθὲς καί μοι φήσειεν ἐντετυχηκέναι σοι καὶ μαθεῖν ἐκ σοῦ, ὡς ἠγνοηκὼς ἦσθα, ἄρτι δὲ μεμαθήκεις περὶ τοῦ λόγου καί με τὸν λόγον ᾔτησεν εἰπών, ὡς σοὶ τῶν ἀναγκαίων τούτῳ περιτυχεῖν, ἀφῆκά σε τῆς αἰτίας, ἣν ἐξ ἀγνοίας πρότερον εἶχον πρὸς σέ, καὶ χάριτας ὅτι πλείστας ὡμολόγησα, ὅτι καὶ τὸ παρόν μοι πόνημα δι' ἐφέσεως ἔχεις ἰδεῖν· —

β΄

ΤΟΥ ΑΥΤΟΥ ΝΙΚΟΛΑΩΙ ΤΩΙ ΚΑΒΑΣΙΛΑΙ

Οἱ πρός με τῆς ἐγκυκλίου παιδεύσεως κατ' ἔρωτα φοιτῶντες παῖδες συνήθως μου περὶ τῆς σῆς περὶ λόγους μαθήσεώς τε καὶ εὐδοκιμήσεως διεξιόντος καί τινα χωρία τῆς ἐπὶ τῷ βασιλεῖ σου λαμπρᾶς μονῳδίας ἀπὸ στόματος φράζοντος, οὗτοι δὴ σπουδαίως καὶ ὡς προσῆκεν ἀκηκοότες καί σε καὶ τὴν σὴν σοφίαν καὶ μεγαλόνοιαν ὡς ἐξ ὀνύχων τὸν λέοντα, ὅ δή φασι, κατειληφότες, εὐθὺς τὰς ψυχὰς διαθερμάναντες τοῦ σοῦ πόθου διακαῶς γίνονται· ὅθεν αὐτοὶ μὲν σοὶ περὶ τοῦ ταύτην πεπομφέναι γράψαι |

γ΄

| ΤΟΥ ΑΥΤΟΥ ΤΩΙ ΥΙΩΙ ΤΟΥ ΚΥΔΩΝΗ

f 133v

Ἐβουλόμην μὲν καὶ αὐτὸς τῷ σὲ μιμεῖσθαι μὴ γράψαι, ᾧ γε μηδὲν ὡς ἔοικε μέλει τῶν ἐμῶν. δυοῖν δὲ χάριν ἐμαυτὸν ἀποστῆσαι τοῦ

1 numeros epistularum addidi 2 nomen scriptoris rubro repetitum 18 *κατ' ἔρωτα* vel aliud simile, litterae paene evanuerunt 20 *διεξιόντως* 22 *μεγαλονίαν* (οι supra lineam) 25 sic fol 107v desinit, reliqua epistula intercidit

μὴ γράφειν χρῆναι διενοήθην· τοῦ τε τοῖς αὐτοῖς οἷς ἐγκαλῶν φαίνομαι μὴ περιπεσεῖν, καὶ τοῦ σοῦ μὴ γράφοντος μείζων φανῆναι τῷ γράφειν. ὅθεν μείζονι τῷ φίλτρῳ πρὸς τὸ γράφειν ἤδη χεῖρα κινῶ, εἰ καὶ μὴ κατ' ἐμὴν δόξαν μηδ' ὡς αὐτὸς προσεδόκων, προσεδόκων δὲ δήπου κατ' ἀμοιβήν· ὡς γὰρ καθημένῳ μοι καί τι μεταχειριζομένῳ βιβλίον παραστάς τις βεστιάρχην ἀφικέσθαι προσηγγέλκει τὸν καλόν, εὐθὺς ἔνθους οἷον ὑφ' ἡδονῆς ἐγενόμην, οὐ τῷ φίλον καὶ τοιοῦτον ἥκειν εἰδέναι μόνον, ἀλλὰ καὶ μᾶλλον τῷ παρὰ σοῦ κομίζειν ἀφῖχθαί μοι γράμματα. τοὐντεῦθεν καὶ γράμμασιν ἀμοιβαίοις δωρήσεσθαί σε προσεδόκων, τὸ δ' ἄρα οὐχ οὕτως εἶχεν· ἀναστὰς γὰρ εὐθὺς τὴν ὡς αὐτὸν φέρουσαν τάχει διῄειν· ἐπεὶ δ' ἐνετύχομεν ἀλλήλοις τε τὸ εἰωθὸς ἠσπασάμεθα, σὲ πρῶτον ἠρόμην, εἰ τῶν ὑγιαινόντων εἷς καὶ αὐτὸς ὢν τυγχάνεις, καί, ὅτι ποιεῖς, πρός. μετὰ τοῦτο, εἰ καὶ γράμματα σὰ πρός
f 134r με κομίζει, | δεύτερον ἐρώτημά μοι γίγνεται· ὁ δ' ἐπινεύειν οὐκ εἶχε πλὴν τοῦτο λέγειν, ὡς ἀσπάζεταί σε ὁ πάντ' ἄριστος καὶ τῆς πατρίδος τὸ θαῦμα. οὕτως ἕτερα μὲν ἠλπίκειν, ἕτερα δὲ ἐξέβη. ἐγὼ δ' ὡς τῆς ἐλπίδος διαμαρτὼν ἐδυσφόρουν, ἠνιώμην ὡς τὸ εἰκὸς καὶ τὰ τοῦ προτέρου πάθους εἰς τοὐναντίον μοι τέτραπται. καὶ τοῦ μὴ γράψαι τί τὸ αἴτιον πυθομένου τῶν ἐγκλημάτων καὶ τῆς μέμψεως ἐξαιρήσεσθαί σε δῆθεν ἐθέλων αὐτός, αἰτίαν εὐπρόσωπον προὐτίθει· ἔφη γὰρ ἀπεσχολακότα σε τῇ πολυασχόλῳ Πτολεμαϊκῇ βίβλῳ μὴ οἷόν τ' εἶναι τοῖς φίλοις ἐπιστέλλειν, ὥστε τὰ φίλων ποιεῖν. καὶ ταῦτα μὲν ἐκεῖνος ἀπολογούμενος καὶ οὐκ ἄλλην ἢ ταύτην εἶναι δισχυρίζετο τὴν αἰτίαν. ἐγὼ δὲ εἰ μὲν ᾔδειν τὸ μάθημα τοδὶ τοὺς αὐτὸ μετιόντας φίλων ἀφίστασθαι παρασκευάζον καὶ ὥσπερ εἰ μὴ φίλους τοὺς φίλους ἡγεῖσθαι, κἂν ηὐξάμην μηδ' ὅτι πότ' ἐστιν ἀστρονομίαν ἀνθρώπους εἰδέναι, μηδ' ἐν ἀνθρώποις μηδοτιοῦν εἶναι ταύτην τὴν ἐπιστήμην· ἐπεὶ δ' ἀκριβῶς ἔπεστί μοι γινώσκειν, μηδὲν παραλυμαίνεσθαι μηδ' ἐμποδὼν γίνεσθαι τοῖς τοῦτο μετιοῦσι πρὸς τὸ φιλίαν αὔξειν — αὔξεται δὲ ἐπὶ τῶν απόντων διὰ γραμμάτων —, ἐπίδηλον ἂν εἴη πάντως μήπω σε τῆς αἰτίας ἀπολελύσθαι. ἔτι εἰ μὲν προσέχων τῇ βίβλῳ μὴ φύσεως εὖ εἶχες μηδ' ἑτοίμως εἰς τὸ γράφειν, ἴσως εὐλόγως ἂν εἶχε τὰ τῆς σιγῆς. ἐπεὶ δέ γε τοιαύτης φύσεως ἔτυχες ἐκ θεοῦ, ᾗ δὴ τὸ ῥεῖν ἑτοιμότατα καὶ μετὰ κάλλους περίεστιν, ποίας ἂν τύχοι συγγνώμης ἡ σιωπή, σκῆψιν ἔχουσα τοιαύτην, ἧς παρούσης τὸ γράφειν οὐ κατείργεται; ἐκεῖνο δὲ οὐκ ἔχεις ἀπολογήσασθαι δήπου, ὡς καὶ αὐτὸς ὑπὸ τὴν

24 μετιόντας, in marg γρ' αὐτῷ προσισχομένους

αὐτήν σοι | μέμψιν εἰμί, ὅτι μὴ μέχρι τοῦδε γέγραφα; ἐμοὶ μὲν γὰρ f 134v ἱκανὸν εἰς ἀπολογίαν τό τε μὴ παρεῖναί μοι τὸν κομίσοντα καὶ τὸ σοῦ πρότερον ἐπεσταλκέναι· σὺ δὲ τούτων οὐδ' ἕτερον ἂν ἔχοις εἰπεῖν, εἴγε βούλει τἀληθῆ λέγειν. μέγα τοῦ προτέρου τεκμήριον· νῦν γὰρ εὐπορήσας οὐκ ἠμέλησα οὐδ' ὤκνησά σοι γράψαι, καὶ βεστιάρχης δ' ἂν ὤφθη σοι γράμματα φέρων, εἰ μὴ ἐξήει μήτ' ἰδών με μήτ' ἔμοιγε θεαθείς, ὃ καὶ νῦν ἔτι με ἀνιᾷ. ἀλλ' ὦ πρὸς φιλίου, καλῶ δὲ τὴν αὐταγάπην φίλιον, τῷ γράφειν τὴν ἀπὸ τοῦ μὴ γράφειν τικτομένην λύπην διασκέδαζε· τοῖς γὰρ ἐναντίοις τὰ ἐναντία διορθωτέον εἶναί μοι δοκεῖν· —

δ'

ΤΟΥ ΑΥΤΟΥ
ΑΝΔΡΟΝΙΚΩΙ ΤΩΙ ΖΑΡΙΔΗΙ

Διπλῇ με χαίρειν, ἄριστε, παρεσκεύασας· τό τε γὰρ ἔχειν ἔμοιγε σὲ πατρικῶς καὶ τῶν ἀναγκαίων ἡγεῖσθαι τὴν ἐμὴν ἐπιδημίαν πόσην ἡδονὴν ἐμποιῆσαί μοι οἴει; καὶ τό, εἰ μὴ τοῦτο τῶν εὐκόλων ἐμοί, φάσκειν ἐγχειρῆσαι γοῦν ἐπιστεῖλαί σοι· ὃ δήπουθεν τὰ δευτερεῖα τοῦ τέρπειν ἔχει ὅσον εἰς ἡδονήν.

ἐμοὶ μὲν οὖν, ὦ βέλτιστε, μάλα προθυμουμένῳ εἰς ὄψιν σὴν ἐλθεῖν καὶ τῶν ἐν σοὶ θησαυρῶν παντοίων ἀγαθῶν ἀπολαῦσαι ἐμποδὼν τὸ τοῦ χειμῶνος καθειστήκει· εἰ δὲ τὸ ἔαρ ἡμᾶς ἐπιλάβον διασκεδάσειε τὴν τοῦ χειμῶνος σκοτόμαινάν τε καὶ ἀχλύν, εὖ ἴσθ' ὅτι καὶ πρόξενον ἡμῖν, τοῖς τῇ σῇ ἀπουσίᾳ χειμαζομένοις δεινῶς, σοῦ, τοῦ ὡς ἀληθῶς ἔμοιγε ἡδίστου ἔαρος, γενήσεται.

καθικετεύω δέ σε γραμμάτων ἡμᾶς ἀξιῶσαι, ἵν' οἱ παῖδες γοῦν γνωρίσωσιν ἡμῖν τὴν τοῦ ἀγαθοῦ πατρὸς καλλίστην μορφὴν καὶ ἐμοὶ ποθεινήν· —

ε'

| ΤΟΥ ΑΥΤΟΥ f 135r
ΣΟΦΙΑΝΩΙ

| Καλὸς μὲν οὐκ εἰμί, καλοὺς δὲ καὶ αὐτὸς μάλα φιλεῖν πεφύκειν· f 135v καὶ σὲ τοίνυν εἰκὸς ἕνα καλῶν ὄντα, μᾶλλον δὲ καὶ καλῶν ὅτι κάλλιστον, πάντοθεν καὶ βίῳ καὶ λόγῳ κεκοσμημένον καὶ οἱονεὶ φιλοτι-

6 θεασθεὶς 21 ἀχλὴν

μίαν ὄντα τῆς φύσεως ἐπιεικῶς με φιλεῖν καὶ σπεύδειν ἐπὶ τὸ καὶ σὲ ποιεῖν ἐρωτικῶς πρὸς ἐμὲ διακεῖσθαι καὶ πάσχειν τὸ ἐπαινετὸν καὶ μακάριον πάθος. εἰ δὲ καὶ παρ' ἀνδρὸς δέχῃ γράμματα, ὃν μήτε σαυτῷ φίλον ᾔδεις, μήθ' ὅλως πώποτε εἶδες, μηδὲν θαυμάσῃς. εἰ γὰρ δεῖ γεωμετρίᾳ πείθεσθαι, πειστέον δέ — καὶ γὰρ ἀληθεστάτην εἶναι ἡγοῦμαι τὴν ἐπιστήμην —, δικαιότατον ἂν εἴη ἐμέ τε καὶ σὲ φίλους ἀλλήλων γίγνεσθαι· τὰ τῷ αὐτῷ γὰρ ταὐτὰ καὶ ἀλλήλοις εἶναι δεῖ τὰ αὐτά.

ἀλλ' ἴσως ἀγνοεῖς, ὦ φίλος, τοῦ χάριν εἴρηταί μοι ταυτί, καὶ τί μοι βούλεται τὰ ῥηθέντα; τοῦτο δὴ καὶ γνωριῶ· σοὶ φίλος ἐστὶν ἄνωθεν, ἑταιρίᾳ μάλα λαμπρῶς συνημμένος· οἶδ' ὅτι τὸν τοῦ σεβαστοῦ τῷ ὄντι Καλοειδᾶ πάντως ἀκούεις· ὅν, εἰ δεῖ συντόμως εἰπεῖν, ἅμα τῷ ἐντυχεῖν τε καὶ ἐς λόγους ἐλθεῖν εὐθὺς τῆς ἀρίστης πόλεως ἐκφῦναί τις πιστώσαιτο· τοσοῦτον ὁ λαμπρὸς ἡμῖν καὶ φρονήσει καὶ ἀγχινοίᾳ κεκόσμηται. πρὸς αὐτὸν οὖν τοῦτον τὴν ὁμοίαν καὶ αὐτὸς σχέσιν διατηρῶν εἰμι καὶ συνδέδεμαι τούτῳ δεσμοῖς ἀρρήκτοις φιλίας. ἐπεὶ τοίνυν ταῦθ' οὕτως ἔχει, δεῖν καὶ ἡμᾶς ἀλλήλων ἔχεσθαι καὶ ὡσανεὶ διὰ μέσου τινὸς ὅρου τοῦδε λαμπρῶς συνῆφθαι, πᾶσιν ἂν οἶμαι συνδόξειεν. διὰ δὴ τοῦτο καὶ γράμμασι πρὸς σὲ χρήσασθαι δεῖν ᾠήθην, ἵν' ἅμα τε τὸ περὶ σέ μου φίλτρον | f 136r τῆς ψυχῆς ἐξαγγείλω καί σου τὴν καρδίαν ἐκ μαλθακᾶς φρενὸς κατὰ Πίνδαρον ἔρωτος βέλει βάλλω καὶ πρὸς τὸν ὅμοιον ζῆλον ἀνάψω σε.

ἀλλ' ὦ βέλτιστε, ὁ διπλῇ τὴν προσηγορίαν ἐπωνύμως ἀνῃρημένος — σοφὸς γὰρ κατ' ἄμφω καὶ περιττός, τήν τε ἔξω καὶ ἡμετέραν — τὸν φιλέοντα φιλῶν καθ' Ἡσίοδον μὴ παύσαιο καὶ γράμμασιν, ὃ ῥᾷστόν σοι, τέρπων τοὺς σὲ ποθοῦντας ἡμᾶς. αὐτὸς δὲ εὔχομαι τῷ φιλίῳ, ἢ μᾶλλον φάναι τῇ αὐταγάπῃ τοὐντεῦθεν καὶ ἀγάπης χορηγῷ, εἰς ὄψιν σὴν ἀφίξεσθαι παρέξειν ἔμοιγε καὶ τῶν ἐν σοὶ χαρίτων καταπολαύσειν, ὡς ἂν τὸ τῆς παροιμίας καὶ ἐμοὶ συμβαίη αὔξην τε λήψεσθαι καὶ ἀνάψειν τὸ τῆς φιλίας ἐκ σπινθῆρος, ὅ δή φασιν, εἰς πυρσὸν μέγαν. διὰ σὲ γάρ μοι καὶ ἡ περιφανεστάτη καὶ μεγίστη πόλις αὕτη, καὶ καλλίστη πλέον ἢ μεγίστη, πρώην οὖσα φίλη, φιλτέρα πολλῷ τόγε νῦν ἔχον καθίσταται: —

ϛ'

Τὰ σὰ κατ' ἐμαυτὸν ἀνακυκλῶν, ὦ θαυμάσιε, καὶ τοῖς λογισμοῖς ἀνατρέφων καὶ πρὸς τοῦτο κἀκεῖνο τῶν σῶν διαιρούμενος, οὐκ οἶδ' εἰς

ν
13 πόλεως 20 Pind. Ol. II 90 24 Hes. Op. et d. 353

ὅτι τούτων γε βλέψω καὶ τὸν δυνατὸν ἔπαινον ἀποδώσω. ἂν γὰρ ἅψωμαι τινός, τόδ' οὐκ ἐᾷ με· παρακαλεῖ δ' αὖθις ἑτέρωθεν ἕτερον, ὥστ' ἄμεινον δοκῶ μοι ποιήσειν μηδὲν αὐτῶν προσειπών, ὡς οὐκ ἀρκοῦσαν ἔχων τὴν δύναμιν τῷ μεγέθει τῶν σῶν. οὕτω γὰρ οἶμαι προσήκει ποιεῖν ἢ κατ' ἀξίαν τοὺς ἀγαθοὺς ἐπαινεῖν, ἢ μηδὲ τὴν ἀρχὴν λέγειν ἐπιχειρεῖν· ὥστ' ἔγωγε τῆς σῆς φύσεως καὶ γνώμης πεπειραμένος καὶ ἀκριβῶς τὰ σὰ κατανενοηκώς, οὐκ ἐπαινέτης — οὐ γάρ μοι | δύναμις ἐπαινεῖν —, ἀλλὰ θεατὴς αὐτῶν εἶναι βούλομαι. οὐ f 136v
γὰρ ἔστιν εἰπεῖν, ὁπόσην ἔγωγε καρποῦμαι τὴν ἡδονὴν καὶ ἡλίκην ἄγω πανήγυριν ἐφ' ἑκάστῳ τούτων· ἥδομαι, χαίρω, σκιρτῶ, οὐκ ἔστιν εἰπεῖν ὅστις ὑφ' ἡδονῆς γίνομαι. νῦν μὲν γὰρ πάσης παιδείας ἅψασθαί μοι δοκεῖς καὶ τὰ μέγιστα δὴ ταῦτα μαθήματα, γεωμετρίαν, μουσικήν, ἀριθμητικήν, τὸν Πλάτωνα, εἰς τέλος διελθεῖν· νῦν δὲ τῇ δεινῇ ῥητορείᾳ καὶ τῇ τοῦ νοῦ σφοδρότητι καὶ ἀρρήτῳ κινήσει καὶ τοῖς συνεχέσι καὶ πυκνοῖς καὶ ἀλλεπάλλοις τούτου προβλήμασι κατακλύζεις μου τὸν νοῦν καὶ οὐδὲ ἀνακύπτειν ἐᾷς τοῖς τῆς γλώττης κύμασι συνεχῶς καλυπτόμενον καὶ μηδὲ πρὸς ἓν τούτων τὸ παράπαν ἀντέχειν δυνάμενον· νῦν δὲ μετριωτέρᾳ τῇ παιδιᾷ χρώμενον ὁρῶν κἀκείνῃ μᾶλλον, ἥτις εὖ διατίθεσθαι καὶ κοσμεῖν οἶδε τὰ σώματα, ἐμαυτοῦ τε ἐξίσταμαι καὶ θαυμάζειν ἔπεισί μοι τὸ πλῆθος τῶν σῶν ἀγαθῶν. ἅπασι γὰρ ὡς ἀληθῶς κομᾷς τοῖς χρηστοῖς καὶ αἱ Χάριτες, ἐνδιαίτημα πρέπον αὑταῖς εὑροῦσαι, ἐσκηνῆσθαί γ' ἠξίωσαν παρὰ σοί· ὥστε θαρρούντως πρὸς ἅπαντας βοῶ καὶ διατείνομαι καὶ χρηστὰς τὰς ἐλπίδας ἔχω, ὡς ἐν βραχεῖ πλείστους ὅθ' ὑπερακοντίσεις ἐν πᾶσι τῇ περιουσίᾳ τῆς φύσεως. καὶ μὴν καὶ ἡ τῷ σῷ προσώπῳ χάρις ἐκκεχυμένη, τὴν ἔνδον ὑποφαίνουσα πολλὴν ὡραιότητα, διαφερόντως οὐκ ὀλίγους ἐφέλκεται πρὸς αὐτὴν καὶ ὥσπερ αἰχμαλώτους ἄγει ἡττωμένους τοῦ σοῦ πόθου· καὶ οὐκ ἔστιν οἶμαι τῶν ἁπάντων οὐδείς, ὃς καὶ ἐπ' ἐλάχιστόν σοι συγγενόμενος οὐκ εὐθὺς ἑαλώκει ταῖς ἀμυθήτοις χάρισι τῆς ψυχῆς σου· ἅπαντες γὰρ ὥσπερ μετέωροι τοῖς σοῖς λόγοις γενόμενοι μεθ' ὅτι πλείστης | ἐπακροῶνται τῆς ἡδονῆς, κεχηνότες πρὸς σὲ τὰ f 137r
πολλὰ καὶ τῆς δυνάμεως τῶν λόγων εὐδαιμονίζοντες. καὶ καινὸν οὐδέν, εἰ φύσεως εὖ πεφυκὼς καὶ παιδείας ὡς πλείστης γευσάμενος καταπλήττεις πάντας τοῖς λόγοις. ἐκεῖνο μέντοι μάλα τεθαύμακα καὶ διὰ πολλῆς ἄγω τῆς εὐφημίας, ὅτι τοῖς πράγμασιν ὁμιλῶν καὶ τούτοις ὡς οἷόν τε προσκείμενος καθαρὰν καὶ ἀμόλυντον ἐκ τούτων τὴν φύσιν

---

12 ἅψασθέ 29 εἰλώκει

διατηρεῖς· μέγιστον γάρ μοι τοῦτο δοκεῖ καὶ μόνων ἐκείνων εἶναι τῶν ὡς ἀληθῶς μερίδος θείας τετυχηκότων. σύγε μέντοι τοῦτό τε εἴληχας καὶ οὐδενὸς ἀπελείφθης τῶν ἀγαθῶν καί σοι παρὰ πάντων ἔπαινος γίνεται, τῶν τε πεῖραν εἰληφότων τῶν σῶν καὶ τῶν μὴ τῆς σῆς συνουσίας ἀπολελαυκότων. οἱ μὲν γὰρ τὰ σὰ διηγούμενοι καὶ μακρὸν περὶ τούτων τὸν λόγον ποιούμενοι ἐπαινοῦσί τε καὶ θαυμάζουσι καὶ μεθ' ὅτι πλείστης τῆς εὐφημίας αὐτὰ διεξέρχονται· οἱ δὲ πρὸς αὐτοὺς ἀτενὲς βλέποντες καὶ πρὸς τοὺς ὑπὲρ σοῦ λόγους ἐκπληττόμενοι, κατεσχῆσθαί μοι δοκοῦσιν οὗτοι μᾶλλον ὑπ' αὐτῶν, ἢ ὑπὸ τῶν τοῦ μύθου Σειρήνων τοὺς παραπλέοντας. οὕτω τὰ σὰ τοῖς πᾶσι δοκοῦσι περιφανῆ, ὡς τοὺς μὲν ᾄδειν αὐτὰ μεθ' ὅτι πλείστης τῆς ἡδονῆς, τοὺς δὲ διὰ πάσης ἔχειν ἐπιθυμίας καὶ περὶ πολλοῦ ποιεῖσθαι ἰδεῖν τε καὶ ὡς οἷόν τε τούτων ἀπολαῦσαι.

ἀλλ', ὦ γενναῖε καὶ τοῖς πᾶσι δοκῶν τε καὶ ὢν ἄριστε, τὴν σὴν συνουσίαν ὑπὲρ παντὸς τιθέμενον καὶ οὕτως ἔχοντά με πρὸς σέ, τὰ ἴσα καὶ αὐτὸς φιλῶν καὶ τοῖς σαυτοῦ φίλοις ἐγκρίνων οὐ μεῖζόν τι ἢ ἐγὼ ποιήσεις καὶ τὰ μέγιστα δόξεις χαρίζεσθαι· τοῦτο γάρ ἔμοιγε
f 137v *ἀντὶ τοῦ παντὸς | ἀρκεῖ καὶ κρεῖττον εἶναι πάντων δοκεῖ:* —

ζ'

Εἰ συμφοράν τισιν ἤδη λυσιτελῆσαί τις ἔφησε, τί θαυμαστὸν καὶ χάριν εἰς βλάβην τελευτῆσαί τῳ; Θεόφιλος τοίνυν τῶν τυχόντων μέν ἐστι χάριτος, μεμφομένων δὲ τὴν χάριν· ἐκ γὰρ ὧν κατέπραττεν, ἃ πρῴην ἠβούλετο, κίνδυνος αὐτῷ μείζων ἐξέφυ· καὶ νῦν ἔδραμεν εἰς Κιλικίαν ἱστόν τινα Πηνελόπης ἀναλύσων. δεῖ δὲ αὐτῷ τῶν σῶν πρὸς τὸν ἱστὸν χειρῶν· πολὺ γὰρ οὗτος ἐκείνου χαλεπώτερος ἀναλῦσαι. μιμεῖται δὲ ὁμοῦ μὲν τὴν Πηνελόπην, ὁμοῦ δὲ τῆς Πηνελόπης τὸν ἄνδρα· πικρὰ μὲν γὰρ αὐτῷ καὶ τἀκεῖ καὶ τὰ τῇδε. ἀνάγκης δὲ οὔσης ἀνασχέσθαι θάτερα τῇ Σκύλλῃ ἐμπλέκεται μᾶλλον ἢ τὸ σκάφος ἐπὶ τὴν Χάρυβδιν ἄγει: —

η'

Εἰκὸς ἦν σε, τῆς ἡλικίας μήκει διάφορον ὄντα, τῷ τοῦ Νέστορος ἀξιώματι χρήσασθαι πρὸς ἐμέ· πρὸς γὰρ 'Ατρείδην τε καὶ Πηλείδην

οὗτος ἰσχυρῷ τῷ γήρᾳ ἐχρήσατο, τούτους αὐτῷ πείθεσθαι ἀξιῶν. σὲ δὲ μὴ μόνον τῷ τῆς ἡλικίας μήκει διάφορον ὄντα εἰκὸς ἦν μοι τὴν σαυτοῦ σύνεσιν ἕπεσθαι, ἀλλὰ καὶ φίλος τε σαφὴς ἄνωθεν ὤν. νῦν δ', ὦ φίλος, τοῦτο οὐ γέγονεν, ἀλλὰ τοὔμπαλιν πέπρακται. ἄρτι γοῦν ἔστι μέγιστος ἡμῖν ὑπὲρ τοῦ λόγου ἀγών· καὶ εἰ τοῦτον ἐάσομεν, τὰς ἡμετέρας διανοίας ἔνθεν κἀκεῖθεν διανειμάμενοι μὴ μόνον πλείστην ὄνησιν ἡμᾶς ἀφελούμεθα, ἀλλά γε καὶ πλείστην βλάβην εἰσάξομεν. εἰ γὰρ τὸ τῆς ἐγκυκλίου παιδεύσεως χρῆμα ἐάσομεν, σαφῶς οἶσθα ἐπὶ τοῖς ἐσχάτοις ὅτι καταγνωσόμεθα. λέγω δή σοι πάλιν φίλτρον πρὸς σὲ κεκτημένος, ὡς εἰς ἅπαξ τὴν ἀθυμίαν κατάθου καὶ μὴ μάτην τάδε τὰ γράμματα δέδεξο, ἀλλ' ἐν ταῖς πλαξὶ τῆς καρδίας ἰσχυρῶς διατύπωσον: —

ΤΟΥ ΑΥΤΟΥ f 134v
ΣΤΙΧΟΙ ΗΡΩΙΚΟΙ
ΕΙΣ ΤΗΝ ΕΟΡΤΗΝ ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ |

Συνθεσιάων σῶν, λόγε πατρογενὴς ὕψιστε, f 135r
συντελετὴς γεγονὼς μερόπεσσιν ἧκας πνεῦμα,
ὃ πρὸ ὀλίγῳ παράκλητον ἄλλον κέκληκας,
δεῖγμα σαφὲς τῆς αὐτῆς φύσιος ἔμμεναι τοῦτο
καὶ σὲ φάος, λόγε, πρωτοφανῆ τε θεὸν γενετῆρα
καὶ τοῦτο θείους ῥητῆρας δεῖξας ἀλῆας.
τοῦτο γὰρ ἓν τριάδος ἐόν, αὐτοκρατὲς πάνταρχον,
ὅσσα θέλῃσιν, ἀπειρήτῳ δυνάμει καὶ τεύχει,
καὶ κτίσιν πᾶσαν μουνογενεῖ συνδημιουργεῖ
καὶ νοερὰν φύσιν τελέως αἰεὶ καθαγιάζει
καὶ θνητοὺς προβλέπειν τῷ νῷ τεύχει τὰ μέλλοντα
ἠδὲ δαίμονας σεπτῶν τοὺς μηδὲν προμαθόντας.
ἀλλ', ὦ πνεῦμα πατροπρόβλητον, θεία φύσις,
τὴν ἀχλὺν τὴν τοῦ νοῦ μοι περιελών, ἔνδειξον
κἀμὲ νεὼ τοῦ σοῦ θείου φωτὸς τὸν ἄναγνον: —

κρεῖσσον λελογισμένη βραδυτὴς τάχους ἀπερισκέπτου: —

---

7 *ἀφελόμεθα* 18 *ἄλον* 26 *μέλοντα* 31 haec sententia huic loco a librario postea inserta est

ΤΟΥ ΑΥΤΟΥ
ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΧΡΥΣΟΣΤΟΜΟΝ
ΗΡΩΙΚΟΙ

Εἴπερ ὁμηγερέες πάντες συνεληλούθοιεν,
ὅσσοι λόγοις πλεῖστόν θ' ἅμα εὐδοκιμοῦντες ἄρρητον
οὐράνιόν τε βίωτον θεῖον ἔχουσι μέγιστον
καὶ λόγον εἶναι καὶ αὐτόν γ' εὐφυέως γράφοιεν,
ἀλλήλων τὰ κράτιστ' ἐκλεξάμενοι καὶ θέντες,
οὔ σέ γε πρὸς τὸ πρέπον κέν σοι αἰνήσειαν, ἀστήρ.
τύνη γὰρ μόνος ἔν τε λόγοις πάντεσσιν ἀνάσσεις
ἔν τε βιώτῳ, Χριστοῖο στόμα καὶ μέγα κλῆος,
φέρτατε ποιμήν, πασῶν ἀρετάων θησαυρέ: —

---

5 *ἄρητον* 7 *εἶνα* 9 *σον, αἰνήσεαν*

ΙΩΑΝΝΟΥ ΤΟΥ ΖΑΧΑΡΙΟΥ ΘΕΟΔΩΡΩΙ ΤΩΙ ΜΟΔΗΝΩΙ

f 138r

Εἰ ξείνων εὖ πρασσόντων ἔσαναν αὐτίκ' ἀγγελίαν κατὰ τὸν εἰρηκότα ποτὶ γλυκεῖαν ἐσλοί, καὶ τοὐναντίον ἄρα τούτων ἐχόντων, ἀλγήσαιεν ἄν· θεὸς γὰρ ἴστω αὐτός, ὡς κατὰ τὴν παρελθοῦσαν πέμπτην, ἡνίκα πρός του τῶν τὴν Φερρῶν λαχόντων οἰκεῖν — Ἀλεξίου τοὔνομα — ἐπυθόμην σ' ἔτι πονήρως ἔχειν τὸ σῶμα μὴ τῆς δεινῆς ἀσθενείας ἀπαλλαγέντα — πάντας γὰρ τοὺς αὐτόθεν ὡς ἡμᾶς ἀφικνουμένους τῷ πυκνῷ τῶν ἐρωτήσεων βάλλοντες οὐ παυόμεθα —, ὀξυτάτῳ βέλει τῆς τούτου δεινῆς ἀγγελίας, ὡς μὴ ὤφελεν ἐνταῦθ' ἀφικέσθαι, τὴν καρδίαν ἐτρώθην, ὦ φίλων ἄριστε καὶ ἡλίκων. καὶ τῆς ὡς σὲ φερούσης ὅσον τάχος ἅπτεσθαι ἔμελλον, τὴν φίλην ὅτι μάλιστα καὶ τριπόθητόν μοι θεάσασθαι κεφαλήν, εἰ μὴ ἡ τοῦ ἡμετέρου πατρὸς ἀσθένεια διεκώλυσεν· ἣν οἶμαι πυθέσθαι σε ὁποία δεινή τε καὶ πολυήμερος γέγονε. τοιγαροῦν γράμμασιν ἔκρινα δεῖν τὸ τῇ φιλίᾳ προσῆκον ἀφοσιώσασθαι χρέος καὶ ἀμοιβαίοις ἢ ψιλῷ γοῦν μηνύματι θεοῦ παρασχόντος τὸ κρεῖττον καταμαθεῖν, ὡς οὐκ ἔτι πονήρως ἀλλ' ὑγιῶς ἔχεις. ποτέρῳ γοῦν τούτων, ἡμῖν ταχέως τὰ λῷονα δήλωσον, εὐφρανεῖν εἰ βούλει τὰ μέγιστα· ἀπειρήκαμεν γὰρ ἐξ ἐκείνης ἑτέραν χρηστὴν ἐκδεχόμενοι ἀγγελίαν· ἣν καὶ δεξαίμεθα· ἔρρωσο: —

ΤΟΥ ΑΥΤΟΥ
ΣΤΙΧΟΙ
ΕΙΣ ΤΟΝ ΕΥΑΓΓΕΛΙΣΜΟΝ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

Ὁρᾷς, θεατά, θαῦμα φρικτὸν ἐνθάδε;
πῶς ἵσταται μὲν εὐλαβῶς ἡ παρθένος,
ὁ Γαβριὴλ δὲ πῶς τὸ χαῖρε μηνύει
χαρᾶς φέρων ἄρρητα σύμβολα ξένα;
φωνεῖ θεὸν γὰρ ἐνδυθῆναι σαρκίον,

4 Pind. Ol. IV 7   19 βούλλει

φέροντα μορφὴν δουλικὴν τὸν δεσπότην
f 138v | δούλης ἀνύμφου μητροπαρθένου κόρης
θέλοντα σῶσαι τὴν βροτησίαν φύσιν.
ὢ θαῦμα φρικτὸν καὶ πέραν τῶν θαυμάτων: —

ΤΟΥ ΑΥΤΟΥ

Τοῦ σοῦ τόκου, πάναγνε, τὸν ξένον τρόπον
ἀνθρώπινος νοῦς συμβαλεῖν οὐκ ἰσχύει·
θεὸς γὰρ ὢν ἄναρχος ἁπλοῦς τὴν φύσιν,
ἐκ σοῦ προῆλθεν ἠμφιεσμένος, κόρη,
μορφὴν ἀκραιφνῆ δουλικὴν ὁ δεσπότης,
ἄνευ ἁμαρτίας δὲ καὶ μείνας ὅγ' ἦν.
ὅνπερ κρατοῦσα μητρικῶς ταῖς ὠλέναις
ἐξευμενίζου σοῦ γένους παγκληρίαν: —

ΤΟΥ ΑΥΤΟΥ
ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΩΑΝΝΗΝ ΤΟΝ ΠΡΟΔΡΟΜΟΝ

Δῶρον δέχου νῦν συγγόνων Μασγιδάδων,
ἅμ' Ἀνδρονίκου καὶ Ἰωάννου, μάκαρ,
προφῆτα Χριστοῦ τοῦ θεοῦ μόνου λόγου,
τούτους δυσωπῶν σφαλμάτων ἔξειν λύσιν: —

13 inter alterum et tertium carmen *τοῦ αὐτοῦ* + et duae lineae, in quibus quattuor versus deleti sunt, paucae litterae legi possunt 19 *τούτους*
αὐτοὺς

ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΜΟΔΗΝΟΥ

α'

Ἀναγνούς, ὦ φίλτατε, τὰ πρός μέ σου ἥδιστά μοι γράμματα, τὰ λαμπρὰ καὶ γενναῖα, ἥσθην πῶς δοκεῖς σφόδρα· πῶς γὰρ οὐκ ἔμελλον εὐφρανθῆναι, ἐπιστολῆς γε κάλλη τοιαῦτα διεξιών; καὶ οὐκ ἐπανόμην, οὐδέ γε παύσομαι ἐπαινῶν σε πρὸς τοὺς κοινοὺς ἡμῖν ἑταίρους καὶ ἅμα ἐμοὶ φοιτῶντας, τόν τε Νικήταν φημὶ καὶ τὸν Σπηλαιώτην, τοὺς πάντα δεξιούς. φράσιν μὲν οὖν καὶ λόγου ῥώμην καὶ ἡδονὴν εἶδον μέν, δηλῶσαι δὲ οὐκ ἂν δυναίμην· τῆς ἐμῆς γὰρ ἐν λόγοις δυνάμεως κρείττονα ταῦτα κατανοήσας τῇ σιωπῇ τιμῆσαι δεῖν ἔγνων. ἔγωγ' οὖν ἐπεθύμουν μὲν καὶ πρότερον ἐπιστεῖλαί σοι, φίλῳ τε ὄντι καὶ φίλων τὰ πρῶτα· ἐπεὶ δὲ ἀγνοίᾳ πολλῇ κατέχομαι λόγων, οὐκ ἠδυνήθην τῇ ἐπιθυμίᾳ πρᾶξιν ἐπιθεῖναι. ὥστε καὶ ἣν καθ' ἡμῶν αἰτίαν ἔφερες, ὡς μὴ βουλομένων σοι γράφειν καίτοι λόγων καὶ θησαυρῶν ἔμπλεων ὄντων, λέλυται. εἰ μὲν οὖν ἠδυνάμην, ὦ φίλος, καὶ ἐπὶ πλέον παρατεῖναι τὴν ἐπιστολήν, οὐκ ὤκνησα ἄν· | ἐπεὶ f 139r
δὲ δυνάμεως λόγων, καθάπερ ἔφθην εἰπών, ἐστερήμεθα, οἷς ἰσχύομεν ἀντεπιστέλλομεν· ἔρρωσο: —

β'

Σφόδρα λελύπημαι κατὰ σοῦ, ὦ τῶν ἐμοὶ φιλουμένων τὰ πρῶτα, ὅτι τῶν τῇ ἀπαίρων καὶ ἐπανερχόμενος καὶ ταῦτα πολλάκις ποιῶν οὐκ ἀξιοῖς ὡς φίλοις γνωρίζειν καὶ ἡμῖν τὰ κατὰ σὲ οὔθ', ὅτε βούλει ἀποδημεῖν, λέγων, ὅπως ἀπανίστασαι τῶν ἐνταῦθα καὶ ὅποι, οὔθ', ὅτ' ἐπανήκεις, ὅπως διεσώθης ἐκ τῆς ὁδοῦ, καὶ εἴ σοι καλῶς τὰ τῆς ἐκδημίας ἀπέβη. ἔγωγ' οὖν σκοπούμενος οὐχ εὑρίσκω ἐμαυτὸν εἴς σέ τι πταίσαντα, ἵνα, εἰ καὶ ἀνάρμοστόν τε καὶ ἀπρεπὲς τῇ φιλίᾳ πράττῃς, ἀνέχωμαι τούτου, λογιζόμενος, ὡς ἐξ ἐμοῦ τοῦτ' ἔστι. γράψον μοι τοίνυν, ὦ φίλος, καὶ δεῖξον, τί τὸ αἴτιον τοῦ μὴ τὰ τῇ ἑταιρίᾳ προσήκοντα ποιεῖν σε· ἔρρωσο: —

---

2 numeros epistularum addidi 10 τιμήσας

γ'

Ἐπειδὴ παρά τινων αὐτὸς μεμάθηκα τὰς παρὰ σοῦ κατ' ἐμοῦ ἀτιμίας τε καὶ λοιδορίας, ἃς οὐχ οἷόν τέ μοι λέξαι, περίλυπος σφόδρα γενόμενος δεῖν ἔγνων σοι γράψαι, ἵνα κατάδηλον ἀγνοοῦντί μοι θῇς, τοῦ χάριν οὕτως ὑβρίζεις εἰς ἐμέ. φίλου γὰρ ἀνδρὸς ἂν εἴη τὸ τὰ τοῦ φίλου ἁμαρτήματα πρὸς αὐτὸν μόνον δεικνύειν, ἵν', εἴ πως ἥμαρτεν ἐκεῖνος, μετανοήσῃ καὶ τὰ τῆς φιλίας πάλιν μένῃ καθαρά τε καὶ ἄδολα· ἔρρωσο: —

δ'

Οὐ χρὴ γράψαι πρότερον πρὶν τὴν αἰτίαν μαθεῖν. τοῦτο γὰρ κακοῦ πρὸς ἀνδρός ἐστι. σὺ μὲν γὰρ φὴς ἀκοῦσαι παρ' ἐμοῦ τοιαῦτα, ἐγὼ δ' ἔξαρνός εἰμι. διὰ τοῦτο καὶ γράφω σοι καὶ μακρὰν μέν εἰμι τῆς τοιαύτης αἰτίας, ἣν σὺ κατ' ἐμοῦ εἶπας· εὖ τοῦτ' ἴσθι, γνώσῃ δ' αὐτίκα. μάνθανε δέ, πρὶν κοινωνὸς γίνῃ τῆς ὑποθέσεως, μὴ τοὺς φίλους ὑβρίζειν· φαῦλον γὰρ τοῦτό ἐστι, τὸ κολάζειν ἀνεξετάστως· ἔρρωσο: —

ε'

Τὰ σὰ πρὸς τὸν κοινὸν ἡμῖν ἑταῖρον, τὸν Σπηλαιώτην φημί, λαβών, ὦ θαυμάσιε, κάλλιστα γράμματα καὶ ἀναγνούς, ἠγάσθην σου f 139v τὴν εὐφυΐαν | καὶ ἔτι τὴν ἐν λόγοις δύναμιν εὐθὺς ἐξ ἀρχῆς δεδωκότος νοεῖν, οἷον ἕξεις τὸ τέλος. ὅθεν ἱκετεύω σε, ὦ τῶν ἐμοὶ φιλουμένων τὰ πρῶτα, γράψον κἀμοί, ἵνα καθάπαξ εὐφράνῃς ἡμᾶς· ἐν μέρει γὰρ τὰ νῦν ἥσθημεν· ἔρρωσο: —

ϛ'

